# ΛΕΟΝΤΙΟΥ ΜΗΧΑΝΙΚΟΥ

## περὶ κατασκευῆς ἀρατείας σφαίρας.

π ΡΩΗΝ ὦ καλὲ Θεόδωρε, ἐτυγχάνομεν ἐν τῷ μηχανικῷ ἐργαστηρίῳ ἐργαζόμενοι, καὶ ἐπυνθάνου εἴ τις εἴη μέθοδος, δι' ἧς δυνατὸν ἀρατείαν σφαῖραν κατασκευάσαι οὕτως, ὥστε τά ἐν αὐτῇ ζώδια πρὸς ἄλληλά τε, καὶ πρὸς τοὺς ἐν τῇ σφαίρᾳ γραφομένους κύκλους, καὶ ἔτι πρὸς ἀνατέλλοντα μέρη τοῦ ζωδιακοῦ, θέσιν ἔχειν σύμφωνον τοῖς ὑπὸ τοῦ ἀράτου λεγομένοις. ἐτύγχανον γὰρ καὶ τοιαύτην τινὰ σφαῖραν ἐργαζόμενος, ἐλπιδίῳ τῷ σχολαστικῷ ἀνδρὶ ἀξιολόγῳ ὁμοῦ καὶ φιλομαθεῖ. ἐγὼ δὲ τότε σχολῆς ἕνεκ' ἐγγινομένης, οὐδ' ἐν ἔφην. νῦν δ' ἐπεὶ καὶ σὺ καὶ ἄλλοι τινὲς τῶν ἑταίρων παρακαλοῦσι, καὶ λόγον τινὰ περὶ τούτου γράψαι, ἔρχομαι τὴν σὴν προθυμίαν ἐκτελῶν. ἔστω δὲ δῆλον ὅτι τοῖς πρώτοις μάλιστα ἀναγινώσκουσι τὰ ἀράτεια, χρήσιμος ὁ λόγος, εἴγε μέλλοιεν καὶ τὰ λεγόμενα καταλαμβάνειν. πᾶσαι γάρ, ὡς οἶδα, αἱ νῦν φερόμεναι σφαῖραι, πτολεμαίῳ μὲν (ὡς εἰκὸς) ἔν τισιν, ἀράτῳ δὲ κατὰ τὸ πλεῖστον οὐ συμφωνοῦσι, ὥστε τῶν πρώτως μάλιστα ἀναγινωσκόντων τὰ ἀράτεια, τοὺς μὲν δυσχερῶς ἐφικνεῖσθαι τῶν λεγομένων· τινὰς δὲ μηδ' ὅλως παρακολουθεῖν δύνασθαι. καί

τοι ἐπενοήθησαν μὲν αἱ τοιαῦται σφαῖραι, πρὸς τὸ νοεῖν σαφῶς τὸν Ἄρατον. διὸ δὴ καὶ παρωνύμως ἀπ' αὐτοῦ λέγονται, καθὼ καὶ ἔφαμεν ἐν τοῖς πλείστοις, αὐτῷ οὐ συμφωνοῦσι. διὸ δὴ καὶ ἡμεῖς πειρασόμεθα, ὡς μάλιστα δυνατὸν, καὶ ὡς ἔτι πλεῖστον τῶν ἄλλων σύμφωνον τῇ ὑποκειμένῃ σφαῖραν κατασκευάσαι. ἰστέον δὲ, ὅτι τὰ περὶ τῶν ἄστρων τῷ Ἀράτῳ εἰρημένα, οὐ πάνυ καλῶς εἴρηται, ὡς ἔστι ἔκ τε τῶν Ἱππάρχου καὶ Πτολεμαίου συντεταγμένων περὶ τούτων μαθεῖν. αἴτιον δὲ πρῶτον μὲν, ἐπεὶ τὰ Εὐδόξου, οἷς μάλιστα ἠκολούθησεν ὁ Ἄρατος, οὐ λίαν ὀρθῶς εἴληπται. ἔπειτα δ' ὅτι καὶ οὐ πρὸς τὸ ἀκριβὲς, ὥς φησι Σπόρος ὁ ὑπομνηματιστὴς, ἀλλὰ πρὸς τὸ χρήσιμον τοῖς ναυτιλλομένοις, ταῦτα οὕτως διαγέγραπται, εἰκότως τε ὁλοσχερέστερον περὶ τούτων διαλαμβάνει. καὶ γὰρ καὶ οἱ πλωϊζόμενοι, οὐ διὰ μηχανικῶν ὀργάνων καὶ ἀκριβῶς, ἀλλὰ διὰ ψιλῆς ἀναβλέψεως, καὶ παχυμερῶς τὴν τῶν ἀστέρων θέσιν ἔμελλον ἐπισκοπεῖν, ὥστε καὶ ἡ κατασκευαζομένη σφαῖρα, πρὸς μὲν ἄκραν ἀλήθειαν οὐδαμῶς, πρὸς δὲ κατάληψιν τῶν Ἀρατείων, καὶ πάνυ χρήσιμος. ῥᾴδιον δὲ γνόντες ἅπαξ τὰ Ἀράτεια, τά τε μὴ καλῶς ἐν αὐτοῖς ἔχοντα, καὶ ὡς ἔχει ἀληθείας λέγοντός τινος καταμαθεῖν, ὥστε καὶ πρὸς τὴν ἀλήθειαν, διὰ μέσου τινὸς συμβάλλεται ὁ λόγος. ἀλλὰ μὴν οὔτε ἐκεῖνο λαθεῖν χρὴ, οὔτε τὸν

περὶ

περὶ τῶν ἀστέρων λόγον, εἰς τρία μέρη διαιρεῖ ὁ ἄρατος· καὶ ἐν μὲν τῷ πρώτῳ διδάσκει, περὶ τῆς πρὸς ἄλληλα αὐτῶν θέσεως, ὥστε ὅταν λέγῃ, ὅτι αἱ ἄρκτοι κεῖνται, τὰς κεφαλὰς ἔχουσαι ἐπὶ τὰς ἀλλήλων ἰξύας νευούσας. ἐν δὲ τῷ δευτέρῳ, περὶ τῆς νοουμένης αὐτῶν ὑπὸ τῶν κύκλων τομῆς, ἢ ὁποιασοῦν αὐτῶν πρὸς τοὺς κύκλους ψαύσεως, οἷον ὑπὸ ὑποδείγματος. τομῆς μὲν, ὅτι οἱ δίδυμοι τέμνονται ὑπὸ τοῦ θερινοῦ τροπικοῦ κατὰ τὰς κεφαλάς. ψαύσεως δὲ, ὅτι αὐτὸς ἐγγύς ἐστι τοῦ ἰσημερινοῦ. ἐν δὲ τῷ λοιπῷ περὶ τῆς γινομένης αὐτῶν, πρὸς τὰ ἀνατέλλοντα μέρη τοῦ ζωδιακοῦ στάσεως. οἷον ὅτι καρκίνου μὲν ἀνατέλλοντος, δύνει τὸ ἥμισυ τοῦ στεφάνου· χηλῶν δὲ ἀνατελλουσῶν, ἀνατέλλει τὸ ἥμισυ αὐτοῦ. καὶ ὅτι κριοῦ ἀνατέλλοντος, τὸ θυμιατήριον ὁρᾶται ἐπὶ δύσιν, καὶ τὰ παραπλήσια, ὥστε ἂν θελήσωμεν ἕκαστον τῶν ζωδίων κατὰ πάντα συμφώνως ἐντάξαι, δεήσει τοῖς τρισὶ τόποις ἐντυγχάνοντας, ἐπισκέψασθαι εἴ τι λέγουται περὶ τοῦ ζητουμένου ζωδίου καὶ κατὰ μέρος ἐν τῷ ἑνὶ, ἤτοι καὶ ἐν τοῖς δυσὶν, ἢ καὶ ἐν τρισὶ τμήμασιν, ἐὰν οὕτω τύχῃ περὶ αὐτοῦ τὰ λεγόμενα εἰς ἓν συναγαγόντας ἔν τινι πτυχίῳ, ἤτοι σχεδαρίῳ, πρὸς τὸ ἕτοιμον σχεδιάζεσθαι, οἷον σαφηνείας ἕνεκεν τῶν λεγομένων ἡμῖν ἐπὶ τοῦ ὀφιούχου ὁ λόγος.

## ΠΕΡῚ ΤΟΥ͂ ὈΦΙΟΎΧΟΥ.

Τούτου καὶ γὰρ ἐν τοῖς τρισὶ τόποις μέμνηται, ἐπειδὴ τοίνυν ἐν τῷ πρώτῳ μέρει λέγει περὶ αὐτοῦ, ὅτι ὁ ὀφιοῦχος κεῖται ὀρθός, τὴν μὲν κεφαλὴν ἔχων πρὸς τὴν κεφαλὴν τοῦ ἐν γόνασι, τοὺς δὲ πόδας ἐπὶ τοῦ θώρακος τοῦ σκορπίου καὶ τοῦ ὀφθαλμοῦ, καὶ ὅτι περὶ τὸ μέσον εἰλεῖται ὁ ὄφις, καὶ ἐν ταῖς χερσὶν αὐτοῦ στρέφεται, ὀλίγος μὲν τῇ δεξιᾷ, πολὺς δὲ εἰς τὸ ὕψος τῇ ἀριστερᾷ. καὶ ὅτι τὰ γένεια τοῦ κατ' αὐτὸν ὄφεως, παράκειται τῷ στεφάνῳ. ἔτι δ' ὅτι ἔχει ἀστέρας ἐπὶ μὲν τῶν ὤμων λαμπρούς, ἐπὶ δὲ τῶν χειρῶν ἔλαττον λαμπρούς. καὶ ὅτι ὑποκάτω τῆς σπείρας τοῦ ὄφεώς εἰσιν αἱ χηλαί. καὶ τέμνεται μὲν ὑπὸ τοῦ χειμερινοῦ τροπικοῦ κατὰ τοὺς ὤμους, ὑπὸ δὲ τοῦ ἰσημερινοῦ, κατὰ τὰ γόνατα. ἐν δὲ τῷ τρίτῳ, πάλιν σποράδην, ὅτι καρκίνου μὲν ἀνατέλλοντος, δύνει ἀπὸ γόνατος ἕως τῶν ὤμων, κατάγων τὸν ὄφιν ἕως ἐγγὺς τοῦ αὐχένος. σκορπίου δὲ ἀνατέλλοντος, ἀνατέλλουσιν αἱ κεφαλαὶ αὐτῶν, καὶ αἱ χεῖρες τοῦ ὀφιούχου, καὶ ἡ προτέρα καμπὴ τοῦ ὄφεως. τοξότου δὲ ἀνατέλλοντος, ἀνατέλλει ἡ σπεῖρα τοῦ ὄφεως, καὶ τὸ σῶμα τοῦ ὀφιούχου. πάντα ταῦτα συναγαγόντες, ἐν τίνι τόπῳ ἀπογραψώμεθα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ποιητέον. πρόκειται γὰρ ἐπὶ ταῖς ἐφόδοις, καὶ ἀκόποις, τοὺς ἐντυγχάνοντας παρασκευά-

ζειν,

ζειν, καὶ τὰ περὶ τῶν ἄλλων ζωδίων ἑκάστου τὰ κατὰ μέρος λεγόμενα, εἰς ἓν συνάψαντες, ὁμοίως τοῖς ὑπὲρ τοῦ ὀφιούχου εἰρημένοις, ἐν τῷ τέλει τοῦ λόγου παραθήσομεν. κἀκεῖνο μέντοι χρήσιμον ὂν πρὸς τὸ προκείμενον, καλῶς ἔχει παραβάλλειν, ὅτι ἓξ ἐν ταῖς ἀρχαίαις σφαίραις κύκλους, ἐν τακτέον. πρῶτον, τὸν μέγιστον τῶν ἀεὶ φανερῶν, τὸν καὶ ἀρκτικὸν ὀνομαζόμενον. δεύτερον, τὸν θερινὸν τροπικόν. τρίτον, τὸν ἰσημερινόν. τέταρτον, τὸν χειμερινὸν τροπικόν. πέμπτον, τὸν μέγιστον τῶν ἀεὶ ἀφανῶν, τὸν καὶ ἀνταρκτικὸν προσαγορευόμενον. ἕκτον, τὸν ζωδιακόν, τὸν καὶ ἐφαπτόμενον τῶν τροπικῶν. περὶ μὲν οὖν τῶν τεσσάρων, λέγω δὴ τοῦ θερινοῦ καὶ ἰσημερινοῦ, καὶ τοῦ χειμερινοῦ καὶ τοῦ ζωδιακοῦ, πολὺν ποιεῖται λόγον. περὶ δὲ τῶν λοιπῶν ἐναργῶς μὲν οὐ μέμνηται. δι' ὧν δέ φησι περὶ τοῦ δράκοντος, ὅτι ἐκείνου ἡ κεφαλὴ κατ' ἐκεῖνο τὸ μέρος ἐστὶ τοῦ οὐρανοῦ, καθ' ὃ αἵ τε ἀνατολαὶ καὶ αἱ δύσεις μίγνυνται ἀλλήλοις, δῆλον ποιεῖται, ὅτι τὴν κεφαλὴν τοῦ δράκοντος ἐν τῷ μεγίστῳ τῶν ἀεὶ φανερῶν βούλεται εἶναι. οὗτος γὰρ καὶ μόνος διὰ τῆς βορείας κοινῆς τομῆς τοῦ τε ἀνατολικοῦ ἡμικυκλίου τοῦ ὁρίζοντος, καὶ τοῦ δυτικοῦ τὴν περιφορὰν ποιεῖται. ἀκολούθως δὲ τούτου καὶ τὸν ἀνταρκτικόν, ὅμοιόν τε καὶ ἴσον ὄντα τῷ ἀρκτικῷ, ἐννοητέον. δυνατὸν δέ ἐστιν ἑτέρως περὶ

τῶν δύο κύκλων τούτων, ἐξ αὐτῶν πάλιν τῶν ἀρατείων παραμυθήσασθαι. τὴν δὲ τοῦ γάλακτος ζώνην, οὐκ ἐντακτέον, ἐπειδὴ πρὸς τῷ ποικίλην εἶναι, οὐδὲ πολλὴν περὶ αὐτῆς καταβάλλει μνήμην. ὅτι δὲ ποικίλη ἐστὶ, καὶ περιεργοτέρας ἐπιστάσεως δεομένη, δῆλον ἐξ ὧν καὶ πτολεμαῖος ἐν τῷ ὀγδόῳ βιβλίῳ τῆς συντάξεώς φησιν. οὐ γὰρ ὁμαλή τις ἐστὶν, οὐδὲ τεταγμένη, ἀλλὰ καὶ τῷ πλάτει, καὶ τῷ χρώματι, καὶ τῇ πυκνότητι, καὶ τῇ θέσει διάφορος. δεῖ δὲ ἑκάτερον μὲν τῶν τροπικῶν ἀπέχειν, τοῦ ἰσημερινοῦ μεγίστου ὄντος τὰς δεδειγμένας τῷ πτολεμαίῳ ἐν τῷ τετάρτῳ βιβλίῳ τῆς συντάξεως, μοίρας κδ. ἑκάτερον δὲ τῶν ἄλλων, λέγω δὴ τόν τε ἀρκτικὸν, καὶ τὸν ἀνταρκτικὸν, ἀπέχειν τοῦ καθ' ἑαυτὸν πόλου τῆς σφαίρας μοίρας μα, εἴγε μέλλει συμφώνως τῷ ἀράτῳ τὸ ὑπὲρ γῆν τμῆμα τοῦ θερινοῦ, τουτέστιν ἡ μεγίστη ἡμέρα, τοιούτων εἶναι πέντε. οἷον ὅλος ὁ θερινὸς, τουτέστιν ὅλον τὸ νυχθήμερον ὀκτώ. κατὰ γὰρ τὴν τοιαύτην θέσιν τῆς σφαίρας, καὶ τὸ τοσόνδε μέγεθος τῆς μεγίστης ἡμέρας σώζεται, ὡς ὀλίγῳ ὕστερον μαθησόμεθα. τούτων δὲ οὕτως ἡμῖν διειλημμένων, ἔλθωμεν ἐπὶ τὸ προκείμενον. στάσις μὲν οὖν ἡ ἐπὶ τοῖς κίοσιν ἴτυς, ἣ δὴ καὶ ὁρίζοντος τάξιν ποιεῖται. καὶ ἕτερος δὲ ἴσος μὲν τῇ βάσει, ὁ φέρων τὴν σφαῖραν κρικῶν. μεσημβρινοῦ δὲ λέγει τά-

ξιν

ξιν ἐπέχων, ὁμοίως μὲν ταῖς ἐν ταῖς ἄλλαις σφαί-
ραις γίνονται. ἐπιμελῶς δὲ καὶ τεχνικῶς οὕτως,
ὥστε τὴν σφαῖραν πάντοθεν μὲν ἴσον ἀπέχειν
ἀπὸ τῆς κοίλης ἐπιφανείας τοῦ τε ὁρίζοντος, καὶ τοῦ
μεσημβρινοῦ. διχοτομεῖσθαι δὲ ὑπὸ τῆς ἄνωθεν τοῦ
ὁρίζοντος ἐπιφανείας. τοῦτο δὲ ἔσται, ἐὰν καὶ ὁ με-
σημβρινὸς μέσην τε, καὶ κατὰ διάμετρον τὴν σφαῖ-
ραν δίχα τέμνων τὸν ὁρίζοντα, καὶ αὐτὸς διχο-
τομεῖται ὑπὸ τῆς ἄνωθεν τοῦ ὁρίζοντος ἐπιφανείας.
ἔχοντες δὲ πρότερον τοῦ ὑπὲρ γῆν ἐσομένου ἡμι-
κυκλίου, ὡς ἔθος, μίαν πλευρὰν εὐθείαις γραμ-
μαῖς κατὰ διάμετρον κεχαραγμέναις, εἰς τὰς μοίρας διῃ-
ρημένην, τουτέστιν εἰς ἑκατὸν π̄, ἴσα τμήματα
πρὸς τὴν τῶν ἐξαρμάτων, ἤτοι κλιμάτων ἐπί-
γνωσιν. καὶ χρώσαντες τὴν σφαῖραν, ἐὰν ᾖ ξυλί-
νη, καὶ περιπλάσαντες πρῶτον μὲν γύψῳ ἢ κη-
ρίῳ, ὥστε καὶ τὰς ἐν αὐτῇ ῥαγάδας, ἐὰν ἄρα τύ-
χωσι θεραπεῦσαι. ἔπειτα δὲ ξηραινομένου τού-
του δηλαδή, καὶ ἄλλῳ βαθεῖ τινι χρώματι ἐπαλεί-
ψαντες, οἷον τῷ καλουμένῳ λαζουρίῳ, ἀφιστάν-
τες δηλονότι μετὰ τὸ ξηρανθῆναι, ὡς τοῦ διῃρη-
μένου τοῦ μεσημβρινοῦ ἡμικρικίου, ἀπὸ τοῦ βορείου
πόλου, μοίρας μ̄α καταπίθεμεν κατὰ τοῦ ἑτέρου τέ-
ρατος, παρὰ τῆς τῶν μ̄α μοιρῶν διαστάσεως, τουτ-
έστι κατὰ τῆς ἀφοριζούσης ἐν τῇ διῃρημένῃ τοῦ ἡμι-
κρικίου πλευρᾷ, τὴν τῶν μ̄α μοιρῶν περιφέρειαν

βελόνην τινὰ, ὀρθὴν μὲν πρὸς τὴν κυρτὴν, καὶ
τὴν κοίλην τοῦ ἡμικρικίου ἐπιφάνειαν, τουτέστι
νεύουσαν ἐπὶ τὸ μέσον τῆς σφαίρας. τέμνουσαν
δὲ ἐπὶ ποσὸν καὶ διασώζουσαν τὰ περὶ τὴν
σφαῖραν χρώματα. ἐὰν ἄρα ταύτης μενούσης ἀκι-
νήτου, περιστρέψωμεν τὴν σφαῖραν ἀπὸ τοῦ αὐτοῦ
ἐπὶ τὸ αὐτὸ, τουτέστι ἐπὶ μίαν στροφὴν αὐτὴν κινή-
σωμεν, ἐκτορνευθήσεται ἡμῖν κύκλος τὴν αὐ-
τὴν τάξιν ἔχων, καὶ ὁμοταγὴς τῷ κατὰ τὸν Ἄρατον
ἀρκτικῷ κύκλῳ. καὶ γὰρ κατὰ τοῦτον, ὡς ἔφαμεν, ὁ
ἀρκτικὸς κύκλος ἀπέχει ἀπὸ Βορείου πόλου μοί-
ρας μα΄. ὁμοίως δὲ ἀποστάντες ἀπὸ μὲν τοῦ Βορείου, ἢ
νοτίου πόλου μοίρας ἐννενήκοντα, γράψωμεν τὸν
ἰσημερινόν. ἀπὸ δὲ τοῦ νοτίου, μοίρας πάλιν μα΄,
γράψωμεν τὸν ἀνταρκτικὸν, ἴσον τε καὶ ὅμοιον ὄντα
τῷ ἀρκτικῷ. ἔτι δὲ ἀφιστάντες μοίρας κδ΄, ἀπὸ
τῆς κατὰ τὸν ἰσημερινὸν εὐθείας, ἐπὶ μὲν τὸ Βόρειον
μέρος χαράξωμεν τὸν θερινὸν τροπικόν. ἐπὶ δὲ
τὸ νότιον, τὸν χειμερινὸν τροπικόν. καὶ γὰρ καὶ
τούτων ἑκάτερος, ὡς ἔφαμεν, ἀπέχει ἀπὸ τοῦ ἰση-
μερινοῦ μοίρας κδ΄. πάλιν δὲ ἀποστάντες ἀπὸ τοῦ
αὐτοῦ ἡμικρικίου, καὶ ἀπὸ τοῦ Βορείου πόλου μοί-
ρας κδ΄, ὅσον καὶ οἱ τροπικοὶ ἀπὸ τοῦ ἰσημερινοῦ
διεστήκασι, λάβωμέν τι σημεῖον ἀπὸ τῆς ἐπιφανείας
τῆς σφαίρας, ᾧ πόλῳ χρησάμενοι, διαστήματι δὲ
τῆς τοῦ πολυ πλευρᾶς, τοῦ εἰς τὸν μέγιστον κύκλον

ἐγγραφο

ἐγγραφομένου. γράψομεν δὲ διὰ τοῦ διαβήτου τοῦ
λεγομένου καρκίνου, τὸν ζῳδιακὸν κύκλον, ἐφα-
πτόμενον δηλονότι τῶν τροπικῶν. διχοτομουμέ-
νων δὲ ὑπὸ τοῦ ἰσημερινοῦ, ὃν εἰς ιβ΄ ἴσα μερίσαν-
τες, τὰς ἀρχὰς τῶν δωδεκατημορίων, ἀπό τε τῶν
κατὰ τὸν ἰσημερινὸν αὐτοῦ τομῶν, καὶ τὴν πρὸς τοὺς
τροπικοὺς αὐτοῦ ἐπαφὴν ποιησάμενοι, σημειω-
σόμεθα τοὺς μὲν ἓξ κύκλους, ἑτέρῳ τινὶ παρὰ τῷ βα-
θεῖ χρώματι, γραφομένῳ τε λευκῷ τινὶ εἰ τύχοι, ἢ
ξαείῳ χρώματι, πρὸς τὸ μετὰ τὴν χρείαν εὐχερῶς
ἀπαλειφθῆναι δύνασθαι. πρὸς μὲν τῇ πρὸς τὸν θε-
ρινὸν ἐπαφῇ τὸ τοῦ καρκίνου ὄνομα, διὰ τὸ ἐνταῦ-
θα τὴν ἀρχὴν εἶναι, τοῦ κατὰ καρκίνον δωδεκατημο-
ρίου, πρὸς δὲ τῇ ἐφεξῆς διαιρέσει, καὶ ἐπ' ἀνατο-
λὴν τὸ τοῦ λέοντος ὄνομα, ἐπεὶ καὶ αὐτὴ ἡ διαίρε-
σις πέρας μέν ἐστι τοῦ καρκίνου, ἀρχὴ δὲ τοῦ κατὰ τὸν
καρκῖνον δωδεκατημορίου, πρὸς δὲ τῇ τρίτῃ πά-
λιν καὶ ἐπ' ἀνατολὰς τὸ τῆς παρθένου, καὶ οὕτως
ἐφεξῆς ἀκολούθως, ἕως οὗ πάντων τῶν δωδεκα-
τημορίων τὰ ὀνόματα, κατὰ τὸν οἰκεῖον τόπον ση-
μειωσόμεθα. τούτων οὕτως ἐχόντων, ἐὰν χαλάσω-
μεν τὸν κατὰ τὸν μεσημβρινὸν, διὰ τὸν ὑπὲρ τοῦ ὁρίζον-
τος ἐντομῶν, δηλαδὴ εἰς τὴν βάσιν οὕτως, ὥστε
ἑκάτερον τῶν μικρῶν κύκλων, τουτέστι τόν τε ἀρ-
κτικὸν καὶ τὸν ἀνταρκτικόν, στρεφομένης τῆς σφαί-
ρας, ἅπτεσθαι τῆς ἄνω τοῦ ὁρίζοντος ὑπερφανείας ἢ
τῆς κάτω.

τῆς κάτω. ἀλλὰ τὸν μὲν ἀρκτικὸν τῆς ἄνω, τὸν δὲ ἀνταρκτικὸν τῆς κάτω, δῆλον ὅτι ὁ θερινὸς καὶ ὁ χειμερινός, ἑκάτερος διαιρεθήσεται ὑπὸ τῆς ἄνωθεν τοῦ ὁρίζοντος ἐπιφανείας, καὶ τῆς κάτω, κατὰ λόγον τῶν ιε΄ πρὸς τοὺς θ΄· τουτέστι, ἔσται ἐπὶ μὲν τοῦ θερινοῦ τροπικοῦ, τὸ μὲν ὑπὲρ τὸν ὁρίζοντα, τὸ ὡσανεὶ τῆς ἡμέρας τμήματα τοιούτων ιε΄ ὡρῶν. οἵων, ἔστω ὅλος ὁ κύκλος, τουτέστι τὸ νυχθήμερον κδ΄. τὸ δὲ ὑπὸ τὸν ὁρίζοντα, καὶ τὸ τῆς νυκτὸς διάστημα, ὡρῶν θ΄. ἐπὶ δὲ τοῦ χειμερινοῦ ἀνάπαλιν, τὸ μὲν ὑπὲρ γῆν θ΄, τὸ δὲ ὑπὸ γῆν ιε΄. κατὰ γὰρ τὴν τοιαύτην θέσιν τῆς σφαίρας, τουτέστιν ἐφ᾽ ἧς ὁ μέγιστος τῶν ἀεὶ φαινομένων κύκλων, μα΄ μοῖραν ἀπὸ τοῦ πόλου διέστηκε, καὶ τοιαύτη τομὴ τῶν κύκλων γίνεται, ὡς δείκνυσιν ὁ πτολεμαῖος ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς συντάξεως. ὁ αὐτὸς λόγος ἐστὶ τῶν ιε΄ πρὸς τὰ θ΄, καὶ ὁ τῶν ε΄ πρὸς τὰ τρία. καὶ γὰρ ὁ πέντε ἔχει ὅλον τε τὸν γ΄, καὶ τὴν δίμοιρον αὐτοῦ τὸν δύο, ὥσπερ ὁ ιε΄ ἔχει ὅλον τὸν θ΄, καὶ τὸ δίμοιρον αὐτοῦ τὰ ἕξ, ὥστε κατὰ τὴν τοιαύτην θέσιν τῆς σφαίρας, οἷον μὲν ἐπὶ τοῦ θερινοῦ τροπικοῦ τὸ ὑπὲρ γῆν τμῆμα ε΄, τοιοῦτον τὸ ὑπὸ γῆν γ΄. οἷον δὲ ἐπὶ τοῦ χειμερινοῦ τὸ ὑπὲρ γῆν τρίτον, τοιοῦτον τὸ ὑπὸ γῆν ε΄ συμφώνως τοῖς ὑπὸ τοῦ ἀράτου λεγομένοις· ἐπελθόντες εἰς τὴν βάσιν κατὰ τὸν εἰρημένον τρόπον τοῦ ἰσημερινοῦ, εἰ προ-

στρέψαιμεν τὴν σφαῖραν, ἕως οὗ ἡ ἀρχὴ τοῦ κατὰ τὸν καρκῖνον δωδεκατημορίου, ἀνατείλῃ ἐν τῷ αὐτῷ ἐπιπέδῳ γινομένῃ, τῇ ἄνω τοῦ ὁρίζοντος ἐπιφανείᾳ, ἀσφαλισάμενοί τε τὴν σφαῖραν, τουτέστι κηρῷ ἤ τινι τοιούτῳ, ἀκίνητόν τε αὐτὴν ποιήσαντες, γράψομεν πάλιν ἐν τῇ σφαίρᾳ κύκλον, ἐρχόμενον διὰ τῆς ἀρχῆς τοῦ καρκίνου, ὁμοταγῆ δὲ καὶ ἐν τῷ αὐτῷ ἐπιπέδῳ γινόμενον, πάντοτε τῷ ὁρίζοντι κατὰ τὴν τοῦ εἰρημένου δωδεκατημορίου ἀνατολήν. γράφομεν δὲ αὐτὸν βελόνῃ τινὶ περιφέροντες μὲν αὐτὴν, καθ᾽ ὅλης τῆς τοῦ ὁρίζοντος περιφερείας. οὕτως δ᾽ αὐτὴν σχηματίζοντες, ὥστε τὸν δι᾽ αὐτῆς ἐγγραφόμενον ἐν τῇ σφαίρᾳ κύκλον, ἐν τῷ αὐτῷ, ὡς ἔφαμεν, ἐπιπέδῳ γίνεσθαι τῇ ἄνω τοῦ ὁρίζοντος ἐπιφανείᾳ, ἐπιγράψαντες τὸν κύκλον δι᾽ ὀλίγων γραμμάτων, κατὰ μὲν τὸ ἀνατολικὸν αὐτοῦ ἡμικύκλιον, καρκίνου ἀνατολικὸν, κατὰ δὲ τὸ δυτικὸν καρκίνου δυτικὸν, τουτέστι σημειωσάμενοι ἐπὶ τῶν ἡμικυκλίων, καὶ γράψαντες γράμματά τινα. οἷον ὅτι τοῦτο μέν ἐστι τὸ κατὰ τὴν ἀνατολὴν τοῦ καρκίνου, τουτέστιν ὅταν ἡ ἀρχὴ τοῦ κατὰ τὸν καρκῖνον δωδεκατημορίου ἀνατείλῃ. ποῖον μὲν τῆς σφαίρας ἡμισφαίριον ὑπὲρ γῆν ἐστι, ποῖον δὲ ὑπὸ γῆν, γράψομεν δὲ ἐπὶ τῶν ἡμικυκλίων τὰ γράμματα.

## ἈΡΆΤΟΥ ΒΊΟΣ.

Ἄρατος πατρὸς μὲν ἀθηνοδώρου, μητρὸς δὲ ληνοδώρας, ἐκ σόλων τῆς κιλικίας. ὠνόμασται δὲ ἡ πόλις ἀπὸ σόλωνος τοῦ λινδίνου, ἔστι δὲ ἡ νῦν πομπηϊόπολις. ἦν δὲ ἐπὶ πτολεμαίου τοῦ φιλαδέλφου, ἐσχόλασε διονυσίῳ τῷ ἡρακλεώτῃ. συνῆν δὲ ἀντιγόνῳ μακεδόνων βασιλεῖ, καὶ φίλᾳ τῇ τούτου γαμετῇ. συνήκμασε δὲ ἀλεξάνδρῳ τῷ αἰτώλῳ, καὶ καλλιμάχῳ, καὶ μενάνδρῳ, καὶ φιλητᾷ. ἀδελφοὺς δὲ εἶχε τρεῖς, μύριν, καλώνδαν, καὶ ἀθηνόδωρον, ὃς πρῶτος ἀντειπεῖν λέγεται ζωΐλῳ, τῷ κατὰ τῆς ὁμηρικῆς ποιήσεως γράψαντι. σχολάσας δὲ ὁ ἄρατος περσαίῳ τῷ φιλοσόφῳ ἀθήνησι, καὶ συνελθὼν αὐτῷ εἰς μακεδονίαν μεταπεμφθέντι ὑπὸ ἀντιγόνου, καὶ παρελθὼν εἰς τὸν ἀντιγόνου καὶ φλίας γάμον, καὶ εὐδοκιμήσας, τὸ λοιπὸν τοῦ χρόνου διέτριψεν ἐκεῖσε. ἦν δὲ ὁ ἀντίγονος υἱὸς δημητρίου τοῦ πολιορκητοῦ, καὶ παρέλαβε τὴν ἀρχὴν περὶ ἑκατοστὴν καὶ πέμπτην ὀλυμπιάδα, καθ' ἣν πτολεμαῖος ὁ φιλάδελφος αἰγύπτου ἐβασίλευσεν. ὥστε καὶ θρυλλούμενόν ἐστιν ὑπό τινων, ὡς ἦν κατὰ τὸν αὐτὸν χρόνον νικάνδρῳ τῷ κολοφωνίῳ, τῷ τὰ θηριακὰ γράψαντι. λέγουσί τε προτεῖναι ἀλλήλοις, ὁ μὲν νικάνδρῳ σκέψασθαι τὰ φαινόμενα, ὁ δὲ ἀράτῳ τὰ θηριακά. τοῦτο δὲ καταφανῶς ἐστὶ ψεῦδος. ὁ γὰρ νίκανδρος δώδεκα

ὅλαις

ὅλαις ὀλυμπίαις νεώτερος φαίνεται. ἔνιοι δέ φασι τὸν ἄρατον μνασέου πατρὸς γεγονέναι, ἀριστοθήρου δέ τινος μαθηματικοῦ διακοῦσαι. ἰατρὸν δὲ περιγενομένως καὶ ποιητὴν γενέσθαι ἐν τοῖς ἀντιγόνου βασιλείοις, γηραιῷ δὲ τῷ κυρηναίῳ ἐπεβάλλετο, παρ' οὗ καὶ ὑπογράμματος ἠξιώθη. συνήκμασε δὲ νικάνδρῳ μαθηματικῷ, καὶ αὐτῷ κολοφωνίῳ, θεραπεύοντι ἅμα αὐτόν. ζηλωτὴν δέ φασι τοῦτον γενέσθαι ὁμήρου, ἢ ἡσιόδου μᾶλλον.

## ὙΠΌΘΕΣΗΣ ΤΩ͂Ν ΦΑΙνομένων ἀράτου.

Πρῶτον μὲν ἀπαγγέλλει προοίμιον εἰς τὸν δία, δεύτερον δὲ διεξέρχεται τὴν τῶν φαινομένων ἀπλανῶν διακόσμησιν, εἰς τρία μέρη διελὼν αὐτήν. ἐν μὲν τὸ ἐντὸς τοῦ ἀρκτικοῦ φαινομένου ἀεὶ ὑπὲρ γῆν, ἔπειτα ἕτερα δύο ἀνατέλλοντα καὶ δύοντα. τὸ μὲν βόρειον τὸ μεταξὺ τοῦ ἀρκτικοῦ καὶ ζωδιακοῦ, τὸ δὲ νότιον τὸ μεταξὺ ζωδιακοῦ καὶ ἀνταρκτικοῦ. ἀπαγγέλλει δὲ ἕκαστον κατὰ μῆκος καὶ κατὰ πλάτος. τὰ μὲν μήκη ἀπὸ ἀνατολῶν ἰὼν ἐπὶ δυσμάς, διὰ τῶν προανατελλόντων, μέχρις ἂν ἐπανέλθῃ, τὰ δὲ πλάτη ἀπὸ τῶν βορείων ἐπὶ τὸ νότιον. κατὰ μῆκος μὲν οὖν τὸν βόρειον τόπον, ἀπὸ τῶν ἐγγόνασι καὶ ὀφιούχου εἰς τὸ πρόσθεν, ἀεὶ μέχρι τῶν αὐτῶν κύκλων ἀπαγγέλλει. τὸν δὲ νότιον ἀπὸ ὠρίωνος καὶ κυνὸς καὶ ἀργοῦς, ὁμοίως μέχρι τῶν αὐτῶν.

κατὰ

κατὰ πλάτος δὲ, τὸν μὲν βόρειον ἀπ' ἀρκτικοῦ μέχρι ζωδιακοῦ. τὸν δὲ νότιον ἑξῆς ἀπὸ ζωδιακοῦ, μέχρι τοῦ ἀνταρκτικοῦ, συντάσσων τὰ μὲν ἑξῆς καθ' ἕν. τὰ δὲ κατ' ἴλας καὶ συγγενείας τινὰς, εὐλόγως περιλαμβάνων. συντελέσας δὲ τὴν διάθεσιν τῶν ἀπλανῶν, μετὰ ταῦτα περὶ τῶν πέντε πλανήτων λέγει, καὶ ἑξῆς ἁρμόσας τοὺς κύκλους ἑκάστων ἀπαγγέλλει. ἀπαναίνεται μὲν τοὺς τῶν πλανωμένων, καὶ οὐ θαῤῥεῖ λέγειν ὡς χαλεπόν. εὔχεται δὲ ἱκανὸς γενέσθαι τῶν ἀπλανῶν, τά τε κύκλα, τά τε αἰθέρια σήματα ἐνισπεῖν. καὶ τοὺς ἀναγκαιοτάτους κύκλους τῶν ἀπλανῶν τέσσαρας λέγει, δύο μὲν τροπικοὺς, ἕνα δὲ ἰσημερινόν, τέταρτον δὲ τὸν ζωδιακόν. πάρεργον δὲ καὶ ὡς ἐν παραδείγματος μέρει, αὐτὸν τὸν γαλαξίαν παραβέβληται. μετὰ ταῦτα δὲ ἀνατολὰς ἑκάστῳ, καὶ δύσεις ἀπαγγέλλει, χρώμενος τῷ τρόπῳ δι' οὗ ἕκαστα τῶν ἐν τῷ ζωδιακῷ καταλέγει, συνανατέλλοντά τε καὶ ἀντιδύνοντα ἀρξάμενος ἀπὸ ἑσπερινῆς ἀνατολῆς καρκίνου. κατὰ δύο δὲ τρόπους ταῦτα διεξέρχεται. ὅτε μὲν πρότερα τὰ συνανατέλλοντα, καὶ δεύτερα τὰ ἀντιδύνοντα. ὅτε δὲ τοὐναντίον, πρότερα μὲν τὰ ἀντιδύνοντα, ὕστερα δὲ τὰ συνανατέλλοντα, καὶ τούτῳ μᾶλλον τῷ τρόπῳ πλεονάζει, ἤπερ τῷ προτέρῳ. μετὰ ταῦτα ἡ [illegible] περὶ δύο σημείων διεξέρχεται, καὶ πρῶτον μὲν προοίμιον αὐτοῖς ἀπαγγέλλει,

ἀπαγγέλλει, μετὰ ταῦτα δὲ σημεῖα λέγει χειμῶνος καὶ εὐδίας. πρῶτον μὲν ὅσα σελήνη παρέχει, δεύτερον δὲ, ὅσα ἥλιος, τρίτον δὲ ὅσα ἡ καλουμένη φάτνη. μετὰ ταῦτα ἀπαγγέλλει σημεῖα σύμμικτα χειμῶνος καὶ εὐδίας, καὶ θρεμμάτων, καὶ ἀρότων, ὅσα δηλοῖ τά τε μετέωρα, καὶ τὰ ἐπίγεια, φυτά τε καὶ ζῶα, καὶ ὅσα τούτοις παραπλήσια. τὰ μὲν σεμνότερα, τὰ δὲ φαυλότερα. κοσμεῖ δὲ τὰ φαυλότερα σεμνότητι, διχῶς. ποτὲ μὲν ἀναμίσγων τὰ σεμνότερα, ποτὲ δὲ ἀρχαιολογούμενος. καὶ τὴν χρείαν αὐτῶν εἶναι λέγει ἀναγκαίαν. καλῶς δὲ ὠνόμασται τὰ φαινόμενα. πρῶτον μὲν, ὅτι τὰ ἐν τῷ ἀρκτικῷ, οὐ λέγει τὰ ἀφανῆ τοῦ οὐρανοῦ (οὐ γὰρ ἴσμεν) ἀλλὰ μόνον λέγει τὰ ἐν τοῖς φανεροῖς, τὰ μεταξὺ τοῦ τε ἀρκτικοῦ, καὶ τοῦ Βορείου πόλου. δεύτερον δὲ, ὅτι περὶ μεγεθῶν καὶ διαστημάτων οὐ διαλέγεται. τρίτον, ὅτι περὶ τῶν ὑποθεόντων πλανωμένων, καὶ τῶν ἀκριβῶν κύκλων οὐ περιεργάζεται, καθάπερ ἄλλοι, πράγματα ἀσαφῆ καὶ στοχαστικὰ, καὶ ἄδηλα κατὰ τὸ πλεῖστον λέγοντες, ἀλλὰ παραιτεῖται οὑτωσὶ λέγων, οὐκέτι θαρσαλέος κείνων ἐγώ. ἐν τούτοις γὰρ τὰ μὲν τῶν πλανωμένων, φησὶ λέγειν μὴ θαρρεῖν. τὰ δὲ τῶν ἀπλανῶν, εὔχεται ἱκανὸς γενέσθαι εἰπεῖν. πρὸς τούτοις δὲ, ὅτι καὶ τὰ τῶν ἄλλων, καὶ τῶν ἐν τέλει καταλεχθέντων σημείων, τὰ μὲν φαινόμενα λέγει·

τὰς δὲ αἰτίας ἑκάστων ἀφανεῖς οὔσας, παρίησι, καὶ στοχασμοὺς ἀδήλους οὐ διεξέρχεται, καθάπερ οἱ φιλόσοφοι.

## Πῶς δεῖ ἱστᾶν σφαῖραν.

Ὁ βουλόμενος ὁμοίως τῷ κόσμῳ θεῖναι τὴν σφαῖραν, τὸν πόλον τῆς σφαίρας πρὸς βορείαν τρεπέτω. ὁ βουλόμενος τὴν φορὰν ποιεῖν τοῦ οὐρανοῦ, ὑπὸ τῇ δεξιᾷ τὸν πόλον ἔχων, στρεφέτω ἀφ᾽ ἑαυτοῦ εἰς τοὐναντίον τὴν σφαῖραν. ὁ θέλων ποιεῖν ἀνάπλασιν, στρεφέτω αὐτὸν εἰς τοὐναντίον. οἱ μὲν εὐθεῖς περιγράφουσι τοῦ ποιήματος τὰ φαινόμενα, οἱ δὲ ἀκριβεῖς τὴν διάθεσιν καὶ κίνησιν τῆς σφαίρας· ἡ μὲν γὰρ διάθεσις, διασαφεῖ τὸ ποίημα, τὸ δὲ ποίημα δηλοῖ τὰ φαινόμενα. ἀλλὰ καὶ ἡ κίνησις καὶ ἡ θέσις τῆς σφαίρας, τὰς ἀρχὰς καὶ ἀναφορὰς ὅλων τῶν φαινομένων περιέχουσι, καὶ πᾶσαν ἑξῆς τὴν θεωρίαν σαφῆ καὶ ἑτοίμην παρέχουσι πάντως καὶ συνεπομένην. ὅμηρον μὲν ἓν εἶδος γραφέων βλάπτει τῶν βιβλιογράφων, ἄρατον δὲ δύο, βιβλιογράφων τε καὶ ζωγράφων. ὧν τὰ ἁμαρτήματα, τῶν ἀράτου θεωρημάτων ἐγκλήματα ποιοῦσιν οἱ κουφότεροι, διὰ τὴν ἄγνοιαν τοῦ παντὸς λόγου, καὶ τῆς ἀληθείας περὶ σφαίρας. σφαῖρά ἐστι σχῆμα στερεόν, ὑπὸ μιᾶς ἐπιφανείας περιεχόμενον, πρὸς ἣν ἀφ᾽ ἑνὸς σημείου τῶν ἐντὸς τῆς σφαίρας κειμένων,

πᾶσαι

πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι, πρὸς τὴν αὐ-
τῆς περιφέρειαν, ἀλλήλαις εἰσὶν ἴσαι. τὸ δὲ ση-
μεῖον τοῦ κέντρον καλεῖται, ὅ ἐστιν ἡ γῆ. κύκλοι
παράλληλοι πέντε. ἀρκτικὸς, ὁ καὶ βόρειος καὶ ἀει-
φανής. θερινὸς τροπικὸς, ὅτε ὁ ἥλιος καρκίνῳ.
ἰσημερινὸς, ὅτε ὁ ἥλιος κριῷ. χειμερινὸς τροπι-
κὸς, ὅτε ὁ ἥλιος αἰγοκέρωτι. ἀνταρκτικὸς, ὁ καὶ
νότιος, ἔνθα ἡ κεκαυμένη ζώνη. κύκλοι λοξοὶ, ὁ ζω
διακὸς, καὶ ὁ γαλαξίας. τὰ πέρατα τοῦ ἄξωνος ἑκα
τέρωθεν, πόλοι καλοῦνται. ὁρίζων ὁ τέμνων τό,
τε ὑπὲρ γῆν ἡμισφαίριον, καὶ τὸ ὑπὸ γῆν. καὶ
ἄξων λέγεται, ἐπεὶ περὶ αὐτὸν ὁ οὐρανὸς ἄγεται.
πόλοι δὲ, ἐπεὶ περὶ αὐτοὺς ὁ οὐρανὸς πολεῖται καὶ
στρέφεται. τοῦτον δὲ τὸν ἄξωνα φασὶν εἶναι, τὸν πα
ρὰ τῷ ποιητῇ ἄτλαντα καλούμενον. οὐρανὸς δὲ
ἐστὶ ὁ περιέχων τὰ πάντα, πλὴν αὐτοῦ. σφαίριον
ἐστὶν ὑπὲρ γῆν, τὸ δὲ ἕτερον ὑπὸ γῆν, διὰ πάσης
δὲ ὥρας στρέφεται καὶ κινεῖται. τοσοῦτον δὲ τὸ ὑ-
πὲρ γῆν μέρος τοῦ οὐρανοῦ ἀπέχει τῆς γῆς, ὅσον
καὶ ἡ γῆ πρὸς τὸ ἕτερον μέρος, ἤγουν τὸν τάρτα
ρον. εἶτα ἐκ τοῦ μέρους ἐκείνου τοῦ ταρτάρου τοῦ
ὑπὸ τὴν γῆν, ἄλλο μέρος τοῦ οὐρανοῦ πάλιν ὁ-
μοίως διέστηκεν. ὁ γὰρ ἡσίοδος φυσικευόμενός
φησιν, ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος
ἄκμων, οὐρανόθεν κατιὼν, δεκάτῃ δ' ἐς γαῖαν
ἵκοιτο, εἶτα πρὸς τὸ ἴσον βάθος τῆς γῆς. ἐννέα δ'

αὖ νύκτάς τε καὶ ἤματα χάλκεως ἄκμων γαίηθεν κατιὼν, δεκάτῃ ἐς τάρταρον ἵκοιτο. λοιπὸν τοίνυν καὶ τὸ ἀπὸ ταρτάρου, ἕως τοῦ ὑπὸ γῆν ἡμισφαιρίου διατεῖνον μέγεθος τοσοῦτόν ἐστιν, ὅσον τὸ τῆς γῆς βάθος, ὥστε διὰ τριάκοντα ἡμερῶν, τὰς δύο ἀρχὰς τοῦ ἄξονος δύνασθαι διανύσαι τὸν ἄκμονα. στρέφεται δὲ καὶ καταφέρεται ἐπὶ δυσμὰς ὁ οὐρανὸς ἀπὸ ἀνατολῶν.

## Διαίρεσις τῆς σφαίρας.

Διαιρεῖται ἡ σφαῖρα, εἴς τε τὰ νότια καὶ βόρεια, καὶ τῶν βορείων βορειότερα. ἐξ ὧν καὶ τὴν ἀρχὴν ποιεῖται, ἢ καθὸ ὑψηλὰ ὄντα φανερά εἰσιν, ἢ διὰ τὴν καθ᾽ ἡμᾶς οἰκουμένην, ἢ πρὸς τιμὴν τοῦ διὸς ἐκεῖθεν ἤρξατο. ὁ γὰρ ἀρκτικὸς κύκλος περιέχει τὰς ἄρκτους, καὶ τὸν δράκοντα, περὶ ὧν φέρεται ἱστορία ἥδε. τὸν δία ἐν κρήτῃ τεχθέντα, δύο νύμφαι ἐκεῖσε ἀνέτρεφον. καὶ ἡ μὲν ἑλίκη ὠνομάζετο, ἡ δὲ κυνόσουρα. κρόνου δὲ ἐπελθόντος ποτὲ, ὁ ζεὺς τὸν ἑαυτοῦ πατέρα παραλογισάμενος, τὰς μὲν νύμφας μετέβαλεν εἰς ἄρκτους, αὐτὸς δὲ εἰς δράκοντα μεταβέβλητο. εἶτα τῆς βασιλείας ἀντιλαβόμενος, σχῆμα ἀνεστήριξε, φημὶ δὴ τὰς νύμφας καὶ ἑαυτόν. ζητεῖται δὲ πότερον ὁ ζεὺς σῶμα ἢ πρᾶγμά ἐστι, καὶ πότερον ψυχὴ ἢ νοῦς, ἢ κρείττων τις δύναμις καὶ ὑπερουράνιος, καὶ ἀκίνητος καθ᾽ ἑαυτόν. ὁ γάρ τοι ἄρατος

κατ

κατὰ τὴν κοινὴν δόξαν εἴρηκε τοῦ Διὸς τοὔνομα, ὡς ἂν τῶν ὄντων βάσιν. δηλοῖ δὲ θάτερον, ἢ ὅτι δι' ὅλου τοῦ κόσμου ἡ πρόνοια χωρεῖ τοῦ θείου, καὶ αὐτὸς διὰ παντὸς ἔρχεται τοῦ κόσμου συνέχων αὐτόν, ἢ κατὰ μὲν τὰς ἐπωνυμίας αἰνίττεται αὐτοῦ, ἃς ἐφ' ἑκάστῃ πράξει εἰς θεὸν ἀναφέροντες οἱ ἀρχαῖοι, τὰ καλῶς γινόμενα ὡς εἰσι, φασι. γενέτωρ, φράτριος, ὁμόγνιος, ἑταιρεῖος, φίλιος, ἱκέσιος, ξένιος, ἀγοραῖος, βουλαῖος, βρονταῖος, καὶ τὰ ὅμοια.

Virg.3. Eclo. AB Ioue principium Musæ, Iouis omnia plena

Virg.1. Georg. Atq; hæc ut certis poßimus discere signis,
Aestusq; pluuiasq;, & agentes frigora uentos
Ipse pater statuit.

German. Nunc uacat audaces in cœlum tollere uultus,
Sideraq;, & uarios astrorum noscere motus.

Hæc ego dum lætis cogor prædicere musis,
Pax tua, tuq; adsis nato, numenq; secundes.

Cice. Cætera labuntur celeri cœlestia motu,
Cum cœloq; simul noctesq; diesq; feruntur.

German. Axis stat, motus semper uestigia seruat,
Librátasq; tenet terras, & cardine firmo
Orbem agit extremum.

Cice. Extremusq; adeò duplici de cardine uertex
Dicitur esse polus.

Hic

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
ἄρρητον. μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί. μεστὴ δὲ θάλασσα,
καὶ λιμένες. πάντη δὲ Διὸς κεχρήμεθα πάντες.
τοῦ γὰρ καὶ γένος ἐσμέν. ὁ δ' ἤπιος ἀνθρώποισι
δεξιὰ σημαίνει. λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει,
μιμνήσκων βιότοιο, λέγει δ' ὅτε βῶλος ἀρίστη
βουσί τε καὶ μακέλῃσι. λέγει δ' ὅτε δεξιαὶ ὧραι,
καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθαι.
αὐτὸς γὰρ τάγε σήματ' ἐν οὐρανῷ ἐστήριξεν,
ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
ἀνδράσιν ὡράων, ὄφρ' ἔμπεδα πάντα φύωνται.
τῷ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται.
χαῖρε πάτερ μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ,
αὐτὸς καὶ προτέρη γενεή. χαίροιτε δὲ μοῦσαι,
μειλίχιαι μάλα πᾶσαι. ἐμοίγε μὲν ἀστέρας εἰπεῖν,
ᾗ θέμις εὐχομένῳ, τεκμήρατε πᾶσαν ἀοιδήν.
οἱ μὲν ὁμῶς πολέες τε, καὶ ἄλλυδις ἄλλοι ἐόντες,
οὐρανῷ ἕλκονται πάντ' ἤματα συνεχὲς αἰεί.
αὐτὰρ ὅγ' οὐδ' ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ' αὔτως
ἄξων αἰὲν ἄρηρεν. ἔχει δ' ἀτάλαντον ἁπάντῃ
μεσσηγὺς γαῖαν. περὶ δ' οὐρανὸς αὐτὸν ἀγινεῖ.
καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν.

ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ' ἀντίος ἐκ Βορέαο,
ὑψόθεν ὠκεανοῖο. δύω δέ μιν ἀμφὶς ἔχουσαι
ἄρκτοι, ἅμα τροχόωσι. τὼ δὴ καλέονται ἅμαξαι.
αἳ δή τοι κεφαλὰς μὲν ἐπ' ἰξύας αἰὲν ἔχουσιν
ἀλλήλων. ἀεὶ δὲ κατωμάδιαι φορέονται,
ἔμπαλιν εἰς ὤμους τετραμμέναι. εἰ ἐτεὸν δή,
κρήτηθεν κεῖναι δὲ διὸς μεγάλου ἰότητι
οὐρανὸν εἰσανέβησαν, ὅ μιν τότε κουρίζοντα
δίκτῳ ἐν εὐώδει ὄρει σχεδὸν ἰδαίοιο
ἄντρῳ ἐγκατέθεντο, καὶ ἔτρεφον εἰς ἐνιαυτὸν
δικταῖοι κούρητες, ὅτε κρόνον ἐψεύδοντο.

οἳ τὴν μὲν κυνόσουραν ἐπίκλησιν καλέουσι,

τὴν δ' ἑτέρην ἑλίκην. ἑλίκῃ γε μὲν ἄνδρες ἀχαιοὶ
εἰν ἁλὶ τεκμαίρονται, ἵνα χρὴ νῆας ἀγινεῖν.
τῇ δ' ἄρα φοίνικες πίσυνοι περόωσι θάλασσαν.
ἀλλ' ἡ μὲν καθαρὴ καὶ ἐπιφράσασθαι ἑτοίμη,
πολλὴ φαινομένη ἑλίκη πρώτης ἀπὸ νυκτός.
ἡ δ' ἑτέρη ὀλίγη μέν, ἀτὰρ ναύτῃσιν ἀρείων,
μειοτέρη γὰρ πᾶσα περιστρέφεται στροφάλιγγι.

τῇ

Hic uertex nobis semper sublimis, at illum Virg. 1. Ge/orgic.
Sub pedibus styx atra uidet, manesq́; profundi.
Hunc circum, ἄρκτοι duæ uertuntur. Cice.
Tres temone rotisq́; micant, sublime quaternæ, German.
Si melius dixisse feras, obuersa refulgent
Ora feris, caput alterius super horrida terga
Alterius lucet. pronas capit orbis in ipsos
Decliuis humeros.
Cræsia uos tellus aluit, moderator Olympi
Donauit cœlo. meritum custodia fecit,
Quod fidei comites prima incunabula magni
Fuderunt Iouis attonitæ, cum furta parentis
Aerea pulsantes mendaci cymbala dextra,
Vagitus pueri patrias ne tangeret auras,
Dictæi exercerent dominæ famuli Corybantes
Ex his altera apud Græcos Cynosura uocatur, Cice.
Altera.
Quas nostri septem soliti uocitare triones.
Dat Graijs Helice cursus maioribus astris. German.

Hac fidunt duce nocturna Phœnices in alto. Cice.
Sed prior illa magis stellis distincta refulget,
Et latè prima confestim à nocte uidetur.
Hæc uero parua est, sed nautis usus in hac est:
Nam cursu interiore breui conuertitur orbe.
Sidoniamq́; ratem nunquam spectata fefellit. German.

Cice. Has inter ueluti rapido cum gurgite flumen
Toruu' Draco repit, ſubter ſupraq́; reuoluens
Seſe, conficiensq́; ſinus è corpore flexos.

Huic non una modo caput ornans ſtella relucet,
Verum tempora ſunt duplici fulgore notata,
È trucibusq́; oculis duo feruida lumina flagrant,
Atq; uno mentum radianti ſidere lucet,
Obſtipumq́; caput tereti ceruice reflexum
Obtutum in cauda maioris figere dicas.
Hoc caput hic paulum ſeſe, ſubitoq́; recondit.
Ortus ubi atq; obitus partem miſcentur in unam.
Attingens defeſſa uelut mœrentis imago
Vertitur.
ἐνγόνασιν dicunt, genibus quòd nixa feratur.

German. Dextro nanq́; genus nixus, diuerſaq́; tendens.
Brachia, ſuppliciter paßis ad numina palmis
Serpentis capiti figit ueſtigia ſæua.
Cice. Hic illa eximio poſita eſt fulgore Corona.

Hunc

τῇ καὶ σιδόνιοι ἰθύντατα ναυτίλλονται.
τὰς δὲ δι᾽ ἀμφοτέρας, οἵη ποταμοῖο ἀπορρὼξ,
εἰλεῖται, μέγα θαῦμα, δράκων περί τ᾽ ἀμφί τ᾽ ἐαγὼς
μυρίος· αἱ δ᾽ ἄρα οἱ σπείρης ἑκάτερθε φύονται
ἄρκτοι, κυανέου πεφυλαγμέναι ὠκεανοῖο.
αὐτὰρ ὅγ᾽ ἄλλην μὲν νεάτῃ ἀποτείνεται οὐρῇ,
ἄλλην δὲ σπείρῃ περιτέμνεται. ἡ μέν οἱ ἄκρη
οὐρὴ πὰρ κεφαλὴν ἑλίκης ἀναπαύεται ἄρκτου.
σπείρῃ δ᾽ ἐν κυνόσουρα κάρη ἔχει. ἡ δὲ κατ᾽ αὐτὴν
εἰλεῖται κεφαλὴν, καί οἱ ποδὸς ἔρχεται ἄχρις.
ἐκ δ᾽ αὖτις παλίνορσος ἀνατρέχει. οὐ μὲν ἐκείνῃ
οἰόθεν, οὐδ᾽ οἶος κεφαλῇ ἐπιλάμπεται ἀστήρ.
ἀλλὰ δύο κροτάφοις, δύο δ᾽ ὄμμασιν, εἷς δ᾽ ὑπὲ
ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου. (νερθεν
λοξὸν δ᾽ ἐστὶ κάρη. νεύοντι δὲ πάμπαν ἔοικεν
ἄκρην εἰς ἑλίκης οὐρήν. μάλα δ᾽ ἐστὶ κατ᾽ ἰθὺ
καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.
κείνη που κεφαλὴ τῇ νήχεται. ἧχί περ ἄκραι
μίσγονται δύσιές τε καὶ ἀντολίαι ἀλλήλῃσι.
τῇ δ᾽ αὐτοῦ μογέοντι κυλίνδεται ἀνδρὶ ἐοικὸς
εἴδωλον. τὸ μὲν οὔτις ἐπίσταται ἀμφαδὸν εἰπεῖν.
οὐδ᾽ ᾧ τινι κρέμαται κεῖνος πόνῳ. ἀλλά μιν αὔτως
ἐν γόνασιν καλέουσι, τὸ δ᾽ αὖτ᾽ ἐν γούνασι κάμνον
ὀκλάζοντι ἔοικεν. ἐπ᾽ ἀμφοτέρων δέ οἱ ὤμων
χεῖρες ἀείρονται· τάνυται γε μὲν ἄλλυδις ἄλλη,
ὅσσον ἐς ὀργυιήν. μέσσῳ δ᾽ ἐφύπερθε καρήνῳ

δεξιτεροῦ

δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο δράκοντος.
αὐτοῦ κἀκεῖνος στέφανος, τὸν ἀγαυὸν ἔθηκε
σῆμ' ἔμεναι διόνυσος ἀποιχομένης ἀριάδνης,
νώτῳ ἀποστρέφεται κεκμηκότος εἰδώλοιο.
νώτῳ μὲν στέφανος πελάει. κεφαλῇ γε μὲν ἄκρῃ
σκέπτεο πὰρ κεφαλὴν ὀφιούχου. ἐκ δ' ἄρ' ἐκείνης
αὐτὸν ἐπιφράσσαιο φαεινόμενον ὀφιοῦχον.
τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
εἴδονται. κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ
εἰσωποὶ τελέθοιεν. ἀτὰρ χέρες οὐ μάλα ἶσαι.
λεπτὴ γὰρ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.
ἀλλ' ἔμπης κἀκεῖναι ἐπόψιαι, οὐ γὰρ ἐλαφραί.
ἀμφότεραι δ' ὄφιος πεπονείαται, ὅς ῥά τε μέσσον
δινεύει ὀφιοῦχον. ὁ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς
ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισι
σκορπίον, ὀφθαλμῷ τε καὶ ἐν θώρηκι βεβηκὼς

ὀρθός. ἀτάρ οἱ ὄφις γε δύο στρέφεται μετὰ χερσίν,
δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός.
καὶ δή οἱ στεφάνῳ παρακέκλιται ἄκρα γένεια.
νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο χηλάς.
ἀλλ' αἱ μὲν φαέων ἐπιδευέες, οὐδὲν ἀγαυαί.

ἐξόπιθεν δ' ἑλίκης φέρεται ἐλάοντι ἐοικὼς
ἀρκτοφύλαξ. τόν ῥ' ἄνδρες ἐπικλείουσι βοώτην,

οὕνεχ'

Hunc illi Bacchus thalami memor addit honorem. Garman.

Cice.

Atq; hoc à tergo propter caput Anguitenentis,
Quem claro perhibent ὀφιοῦχον nomine Graij,

Illis languet honos humeris, manet integer ardor, German.
Luna etiam mensem cum pleno diuidit orbe.

Hic pressu duplici palmarum continet Anguem, Cice.
Atq; eo ipse manet religatus corpore toto.
Nanq; uirum medium Serpens sub pectore cingit:
Ille tamen nitens grauiter uestigia ponit,
Atq; oculos urget pedibus pectusq́; Nepaî.
Est impar manibus pondus, nam dextera paruam German.
Partem Anguis tenet, à læuaq́; attollitur omnis.
Quantumq́; à læua distantia certa notantur,
Est igitur tantum Serpens, atq; ultima mento
Stella sub ætherea lucet crinita Corona.
Ad quam sed dorso peruadit lubricus Anguis,
Insignes cœlum perfundunt lumine Chelæ.
Arctophylax uulgo qui dicitur esse Bootes, Cice.
Quòd quasi temone adiunctam præ se quatit arctum.

Huic

Huic autem ſubter præcordia fixa uidetur
Stella micans radijs Arcturus nomine claro.
Spicum illuſtre tenens ſplendenti corpore Virgo
German. Quam te diua uocant, tangunt mortalia ſi te
Carmina, nec ſurdam præbes uenerantibus aurem.
Exoſa haud mortale genus, medio mihi curſu
Stabunt quadrupedes, & flexis lætus habenis
Teq; tuumq; canam terris uenerabile numen.
Aurea pacati regeret cum ſecula mundi
Iuſtitia, inuiolata malis, placidißima uirgo,
Siue illi aſtra genus fuerit, quem fama parentem
Tradidit aſtrorum, ſeuero intercepit æuo.
Ortus fama tui medijs te læta ferebat
Sublimis populis, nec dedignata ſubire
Tecta hominum, & puros mores ſine crimine Diua
Iura dabas, cultuq; nouo rude uulgus in omnem
Formabas uitæ ſinceris artibus uſum.
Nondum uæſanos rabies nudauerat enſes,
Nec cum ſanguineis fuerat diſcordia nata,
Ignotiq; maris curſus, priuataq; tellus
Gratia ſatis: neq; per dubios auidißima uentos
Spes procul amotas fabricata naue petebant.
Diuitias fructusq; dabat placata colono
Sponte ſua tellus, nec parui terminus agri
Præſtabat dominis ſigno tutißima rura.
At poſtquam argenti creuit deformior ætas,
Rarius inuiſit maculatas fraudibus urbes.

Seraq;

οὕνεχ' ἁμαξαίης ἐπαφώμενος εἴδεται ἄρκτου.
καὶ μάλα πᾶς ἀρίδηλος. ὑπὸ ζώνῃ δέ οἱ αὐτῆς
ἐξ ἄλλων ἀρκτοῦρος ἑλίσσεται ἀμφαδὸν ἀστήρ.
ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέψαιο βοώτου
παρθένον. ἥ ῥ' ἐν χερσὶ φέρει στάχυν αἰγλήεντα.
εἴτ' οὖν ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν
ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι, εἴτέ τευ ἄλλου,
εὔκηλος φορέοιτο. λόγος γε μὲν ἐντρέχει ἄλλος
ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη πάρος ἦεν.
ἤρχετο δ' ἀνθρώπων, κατεναντίη οὐδέ ποτ' ἀνδρῶν,
οὐδέ ποτ' ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν.
ἀλλ' ἀναμὶξ ἐκάθητο καὶ ἀθανάτη περ ἐοῦσα.
καί ἑ δίκην καλέεσκον. ἀγειρομένη δὲ γέροντας,
ἠέ που εἰν ἀγορῇ, ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας·
οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο,
οὐδὲ διακρίσιος περιμεμφέος, οὐδὲ κυδοιμοῦ.
αὕτως δ' ἔζωον. χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον,
ἀλλὰ βόες ἄροτρα, καὶ αὐτὴ πότνια λαῶν
μυρία πάντα παρεῖχε δίκη δώτειρα δικαίων.
τόφρ' ἦν ὄφρ' ἔτι γαῖα γένος χρύσειον ἔφερβεν.
ἀργυρέῳ δ' ὀλίγη, καὶ οὐκέτι πάμπαν ἑτοίμη
ὁμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν·
ἀλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν.
ἤρχετο δ' ἐξ ὀρέων ὑποδείελος ἠχηέντων

μουνάξ.

μουνάξ. ὁ δὲ τῷ ἐπεμίσγετο μειλιχίοισιν.
ἀλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώ/
ἠπείλει δ' ἤπειτα καθαπτομένη κακότητος· (νας.
οὐδ' ἔτ' ἔφη εἰσωπὸς ἐλεύσεσθαι καλέουσιν.
οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
χειροτέρην. ὑμεῖς δὲ κακώτερα τεξείεσθε.
καὶ δή που πόλεμοι, καὶ δὴ καὶ ἀνάρσιον αἷμα
ἔσσεται ἀνθρώποισι. κακοῦ δ' ἐπικείσεται ἄλγος.
ὣς εἰποῦσ', ὀρέων ἐπεμαίετο. τοὺς δ' ἄρα λαοὺς
εἰς αὐτὴν ἔτι πάμπαν ἐλίμπανε παπταίνοντας.
ἀλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ' ἐγένοντο
χαλκείη γενεή, προτέρων ὀλοώτεροι ἄνδρες,
οἳ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων.
καὶ τότε μισήσασα Δίκη κείνων γένος ἀνδρῶν,
ἔπταθ' ὑπουρανίη. ταύτην δ' ἄρα νάσσατο χώρην
ἧχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισι
παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτου.
τῆς ὑπὲρ ἀμφοτέρων ὤμων εἱλίσσεται ἀστὴρ
δεξιτερῇ πτέρυγι, προτρυγητὴρ δ' αὖτε καλεῖται.
τόσσος μὲν μεγέθει, τοίη δ' ἐγκείμενος αἴγλῃ,
οἷος καὶ μεγάλης οὐρὴν ὑποφαίνεται ἄρκτου.
δεινὴ γὰρ κείνη, δεινοὶ δέ οἱ ἐγγύθεν εἰσὶν
ἀστέρες. οὐκ ἂν τούς γε ἰδὼν ἐπιτεκμήραιο.
οἷός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε,
εἷς μὲν ὑπ' ὠμαίων, εἷς δ' ἰξυόθεν κατιόντων,

ἄλλος

Seraq; ab excelſis deſcendens montibus, ore
Velato, triſtisq; genas abſcondita ripa,
Nulliusq; larem, nullos adit illa penates.
Tantum cum trepidum uulgus cœtusq; notauit,
Incipit, Ô patrum ſoboles oblita priorum
Degeneresq; habuit ſemperq; habitura minores:
Quid me nunc habitus ſuper & mala uota uocatis?
Quærenda eſt ſedes nobis. noua ſecula ueſtra
Artibus indomitis tradam, celeriq; cruento.
Hæc effata, ſuper montes abit alite curſu,
Attonitos linquens populos, grauiora pauentes.
Aerea ſed poſtquam proles terris data, nec iam
Semina uirtutis, uitijs demerſa, reſiſtunt:
Quiſq; priora tenet ueſtigia, quiſq; ſecunda.
Ferriq; inuenta mens eſt lætata metallo,
Polluit & Taurus menſeis, aſſuetus aratro:
Deſeruit propere terras iuſtiſsima Virgo,
Et cœli ſortita locum, qua proximus illi
Tardus in occaſum ſequitur ſua plauſtra Bootes.
Virginis at placidæ præſtanti lumine ſignat
Stella humeros, Helicen nec clarior ambit
Quæq; micat, caudaq; armum præfulget ad ipſum,
Quæq; priora tenet ueſtigia, quæq; ſecunda
Clunibus hirſutis & quæ ſua ſidera reddit.
Namq; aliæ, quibus expletum ceruixq; caputq;,
Vatibus ignotæ priſcis ſine honore feruntur.

Cice. Et natos Geminos inuiſes ſub caput Arcti
Subiectus medio eſt Cancer, pedibusq́; tenetur
Magnũ Leo, tremulam quatiens è corpore flammã.
German. Huic ubi contigerit Phœbi uiolentior axis
Accenſa in Cancro iam tunc geminabitur æſtas,
Tunc lymphæ tenues, tunc eſt triſtiſsima tellus,
Et denſas lætus ſegetes bene condit arator.
Ne mihi tunc tenuis pulſet uaga cærula puppis.
Dem potius uentis excluſo uela rudente,
Excipiamq́; ſinu Zephyris ſpirantibus auras.

Cice. Sub læua Geminorum obductus parte feretur
Aduerſum caput, huic Helice truculenta tuetur.
At Capra læuum humerum clara obtinet.
German. Nomina præterea ſecum trahit una, putata
Nutrix eſſe Iouis.
Cice. Verum hæc eſt magno atque illuſtri prædita ſigno.
Contrà Hœdi exiguum iaciunt mortalibus ignem.
Cuius ſub pedibus,
Corniger eſt ualido connixus corpore Taurus.
German. Et caput & ſcapulas, nares & cornua Tauri
Fronte micant Hyades, quæ cornua ſumma ſiniſtri

Summa

ἄλλος δ' οὐραίοις ὑπὸ γούνασιν. ἀλλ' ἄρα πάντες
ἁπλόοι ἄλλοθεν ἄλλος ἀνώνυμοι φορέονται.
κρατὶ δὲ οἱ δίδυμοι, μέσσῃ δ' ὑπὸ καρκίνος ἐστί.
ποσὶ δ' ὑπ' ἀμφοτέροισι λέων ὑπὸ καλὰ φαείνει.

ἔνθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι·
αἱ δέ που ἀσταχύων κενεαὶ φαίνονται ἄρουραι,
ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι.
τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
ἀθρόοι ἐμπίπτουσι. ὁ δὲ πλόος οὐκέτι κώπαις
ὥριος. εὐρεῖαί μοι ἀρέσκοιεν τότε νῆες.
εἰς ἄνεμον δὲ τὰ πηδὰ κυβερνητῆρες ἔχοιεν.
εἰ δέ τοι ἡνίοχόν τε καὶ ἀστέρας ἡνιόχοιο
σκέπτεσθαι γὰρ δοκέοι, καί τοι φάτις ἤλυθεν αἰγὸς
αὐτῆς, ἠδ' ἐρίφων, οἵτ' εἰν ἁλὶ πορφυρεούσῃ
πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους,
αὐτὸν μέν μιν ἅπαντα μέγαν διδύμων ἐπὶ λαιὰ
κεκλιμένον δήεις. ἑλίκης δὲ οἱ ἄκρα κάρηνα
ἀντία δινεύει. σκαιῷ δ' ἐπελήλαται ὤμῳ
αἲξ ἱερή. τὴν μέν τε λόγος διὶ μαζὸν ἐπισχεῖν.
ὠλενίην δέ μιν αἶγα διὸς καλέουσ' ὑποφῆται.
ἀλλ' ἡ μὲν πολλή τε καὶ ἀγλαή, οἱ δὲ οἱ αὐτοῦ
λεπτὰ φαείνονται ἔριφοι καρπὸν κατὰ χειρός.
πὰρ ποσὶ δ' ἡνιόχου κεραὸν πεπτηότα ταῦρον
μαίεσθαι. τὰ δέ οἱ μάλ' ἐοικότα σήματα κεῖται.
τοίη οἱ κεφαλὴ διακέκριται. οὐδέ τις ἄλλῳ

σήματι τεκμήραιτο κάρη Βοός. οἷά μιν αὐτοὶ
ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσι.
καὶ λίην κείνων ὄνομ' εἴρηται. οὐδέ τοι αὔτως
νήκουστοι Ὑάδες. τοὶ μὲν ῥ' ἐπὶ παντὶ μετώπῳ
ταύρου βεβλέαται· λαιοῦ δὲ κεράατος ἄκρον,
καὶ πόδα δεξιτερὸν παρακείμενον ἡνιόχοιο,
εἷς ἀστὴρ ἐπέχει. συνεληλάμενοι δὲ φέρονται·
ἀλλ' αἰεὶ ταῦρος προφερέστερος ἡνιόχοιο
εἰς ἑτέρην καταβῆναι, ὁμιλυσίῃ περ ἀνελθών·
οὐδ' ἄρα κηφῆος μογερὸν γένος ἰασίδαο
αὔτως ἄρρητον κατακείσεται, ἀλλ' ἄρα καὶ τῶν
οὐρανὸν εἰς ὄνομ' ἦλθεν, ἐπεὶ διὸς ἐγγύθεν ἦσαν.
αὐτὸς μὲν κατόπισθεν ἐὼν κυνοσουρίδος ἄρκτου
κηφεὺς, ἀμφοτέρας χεῖρας τανύοντι ἐοικώς.
ἴση οἱ στάθμη νεάτης ἀποτείνεται οὐρῆς

ἐς πόδας ἀμφοτέρους, ὅση ποδὸς ἐς πόδα τείνει.
αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας,
πρώτης ἱέμενος καμπῆς μεγάλοιο δράκοντος.
τοῦ ἄρα δαιμονίη προκυλίνδεται, οὐ μάλα πολλὴ
νυκτὶ φαεινομένη παμμηνίδι, κασσιέπεια.
οὐ γάρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γανόωσιν
ἀστέρες. οἵ μιν πᾶσαν ἐπιρρήδην στιχόωσιν.
οἵην δὲ κληῗδι θύρην ἔντοσθ' ἀραρυῖαν
δικλίδ' ἐπιπλήσσοντες ἀνακρούουσιν ὀχῆες,
τοῖοι μουνὰξ ὑποκείμενοι ἰνδάλλονται

ἀστέρες,

*Summa tenent.ſub hæc eadem ueſtigia dextra*
*Aurigæ, mediaq́; ligant compagine.diuus*
*Myrtilus exoritur,ſummo cum piſcibus ore*
*Totus cum Tauro lucet,ruit oceano Bos,*
*Ante ſuper terras cum fulget Myrtilus ore.*
*Has Græci ſtellas Hyadas uocitare ſuerunt.* Cice.

*Iaſides etiam cœlum cum coniuge Cepheus* German.
*Aſcendit,totaq́; domo,quia Iuppiter auctor*
*Eſt generis:prodeſt maieſtas ſæpe parentis.*
*Ipſe breuem patulis manibus ſtat poſt Cynoſuram:*
*Namq; ipſum ad tergum Cynoſuræ uertitur Arcti.* Cice.
*Diducto paßim quantum latus à pede dextro,* German.
*Cepheus extremam tangit Cynoſurida caudam,*
*Tantundem à læuo diſtat minor.utraq; iungit*
*Regula,Cepheos ueſtigia baltheus ambit.*

*(Hunc antecedit)obſcura ſpecie ſtellarum Caßiepia.* Cice.
*Clara,etiam pernix,cœlo cum luna refulget.* German.
*Sed breuis & paucis decorata in ſidere flammis,*
*Qualis ferratos ſubicit clauicula dentes,*
*Succutit & foribus præducit uincula clauſtri:*
*Talis diſpoſitis ſtellis,ipſa horrida uultu*
*Sic tendit palmas,ceu ſit planctura relictam*
*Andromedam,meritæ non iuſta piacula matris.*

Cice. Hanc autem illuſtri uerſatur corpore propter,
Andromede fugiens aſpectum mœſta parentis.

German. Nec procul Andromade, totã quam cernere nondum
Obſcura ſub nocte licet, ſic emicat ore,
Sic magnis humeris candens nitet, ac media ambit
Ignea ſubſtricta fulget qua zonula palla.
Sed pœnæ facies remanet, diſtrictaq; pandit
Brachia, ceu magni teneantur robore ſaxi.

Cice. Hinc Equus ille iubam quatiens fulgore micanti
Summum contingit caput aluo, ſtellaq; iungens
Vna tenet duplices communi lumine formas,
Aeternum ex aſtris cupiens connectere nodum.

German. tres armo, ſed latera æquis
Diſtingunt ſpacijs. capiti triſtiſsima forma,
Et ceruix ſine honore obſcuro lumine ſordet.
Spumanti mandit ſed quæ ferus ore lupato,
Et capite & longa ceruice inſignior exit
Stella nitens armis, lateriq; ſimillima magno.
Nec totam ille tamen formam per ſingula reddit,
Primo præſtat Equo, medio rapta ordine membra
Deſtituent uiſus, radijs hinc ſurgit imago.
Gorgonis hinc proles in Pierio Helicone
Vertice cum ſummo nondum decurreret unda
Muſæos fontes dextri pedis ictibus hauſit:
Inde liquor genitus nomen tenet Hippocrenen,
Fontes nomen habent. ſed Pægaſus æthere ſummo

Velo/

ἀστέρες, ἀλλ' αὔτως ὀλίγων ἀποτείνεται ὤμων.
ὀργυιῇ φαίνεσκεν ἀνιάζειν ἐπὶ παιδί.
αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται αἰνὸν ἄγαλμα
ἀνδρομέδης, ὑπὸ μητρὶ κεκασμένον. οὔ σε μάλ' οἴω
νύκτα περισκέψασθαι, ἵν' αὐτίκα μᾶλλον ἴδηαι,
τοίη ἡ κεφαλὴ, τοῖοι δέ οἱ ἀμφοτέρωθεν
ὦμοι, καὶ πόδες ἀκρότατοι, καὶ ζώματα πάντα,
ἀλλ' ἔμπης κἀκεῖθι διωλενίη τετάνυσται.
δεσμὰ δέ οἱ κεῖται καὶ ἐν οὐρανῷ. αἱ δ' ἀνέχονται
αὐτοῦ πεπταμέναι πάντ' ἤματα χεῖρες ἐκεῖναι.
ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ ἐπελήλαται ἵππος,
γαστέρι νειαίρῃ. ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ,
τοῦ μὲν ἐπ' ὀμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ.
οἱ δ' ἄρ' ἔτι τρεῖς ἄλλοι ἐπὶ πλευρᾶς τε καὶ ὤμους
ἵππου, δεικανόωσι διασταδὸν ἶσα πέλεθρα,
καλοὶ καὶ μεγάλοι. κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη,
οὐδ' αὐχὴν δολιχός περ ἐών. ἀτὰρ ἔσχατος ἀστὴρ
αἰθομένης γένυος καί κεν προτέροις ἐρίσειε
τετράσιν, οἵ μιν ἔχουσι περίσκεπτοι μάλ' ἐόντες.
οὐδ' ὅγε τετράπος ἐστίν. ἀπ' ὀμφαλέου γὰρ ἄκρου
μεσσόθεν ἡμιτελὴς περιτέλλεται ἱερὸς ἵππος.
κεῖνον δὴ καὶ φασὶ καθ' ὑψηλοῦ ἑλικῶνος
καλὸν ὕδωρ ἀγαγεῖν εὐαλδέος ἵππου κρήνης.
οὐ γάρ πω ἑλικὼν ἄκρος κατελείβετο πηγαῖς,
ἀλλ' ἵππος μιν ἔτυψε. τὸ δ' ἀθρόον αὐτόθεν ὕδωρ
ἐξέχυτο πληγῇ προτέρου ποδός. οἱ δὲ νομῆες

πρῶτοι κεῖνο ποτὸν διεφήμισαν ἵππου κρήνην.
ἀλλὰ τὸ μὲν πέτρης ἀπολείβεται. οὐδέποτ' αὐτὸ
θεσπιέων ἀνδρῶν ἑκὰς ὄψεαι. αὐτὰρ ὁ ἵππος
ἐν διὸς εἰλεῖται. καί τοι, πάρα θηήσεσθαι
αὐτοῦ καὶ κριοῖο θοώταταί εἰσι κέλευθοι.
ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα,
οὐδὲν ἀφαυρότερον τροχάει κυνοσουρίδος ἄρκτου.
αὐτὸς μὲν νωθὴς καὶ ἀνάστερος οἷα σελήνῃ
σκέψασθαι. ζώνῃ δ' ἂν ὅμως ἐπιτεκμήραιο
ἀνδρομέδης, ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται.

μεσσόθι δὲ τρίβει μέγαν οὐρανόν, ἧχί περ ἄκραι
χηλαί, καὶ ζώνη περιτέλλεται ὠρίωνος.
ἔστι δέ τοι καὶ ἔτ' ἄλλο τετυγμένον ἐγγύθι σῆμα
νειόθεν ἀνδρομέδης, τὸ δ' ἐπὶ τρισὶν ἐστάθμηται
δελτωτὸν πλευρῇσιν, ἰσαιομένῃσιν ἐοικὸς
ἀμφοτέρῃς. ἡ δ' οὔτι τόση, μάλα δ' ἐστὶν ἑτοίμη
εὑρέσθαι. περὶ γὰρ πολέων εὐάστερός ἐστι
τῶν, ὀλίγον κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν.
οἱ δ' ἄρ' ἔτι προτέρω, ἔτι δ' ἐν προβολῇσι νότοιο
ἰχθύες. ἀλλ' αἰεὶ ἕτερος προφερέστερος ἄλλου,
καὶ μᾶλλον βορέαο νέον κατιόντος ἀκούει.
ἀμφοτέρων δέ σφεων ἀποτείνεται ἠΰτε δεσμὰ
οὐραίων ἑκάτερθεν ἐπὶ χρεῶ εἰς ἓν ἰόντων.
καὶ τὰ μὲν εἷς ἀστὴρ ἐπέχει καλός τε μέγας τε,
ὅν ῥά τε καὶ σύνδεσμον ὑπούραιον καλέουσιν.

ἀνδρομέδης

Veloces agitat pennas, & sidere gaudet.
Exin contortis Aries cum cornibus hæret Cice.
qui longe maxima torret,
Orbis & ad finem spacijs non tardior ipse
Peruenit, quàm Lycaonis Arctos.
Claraq; non illi est facies, nec sidera possunt,
Officiat si Luna, sua uirtute nitere,
Sed quærendus erit zonæ ratione micantis.
hanc subter poßis cognoscere fultum: Cice.
Iam cœli mediam partem terit, ut prius altæ
Chelæ, tum pectus quod cernitur Orionis.
Et prope conspicies paruum sub pectore claro
Andromedæ signum. Deltoton dicere Graij
Quod soliti, simili quia forma littera claret.
Huic spacio ductum simili latus extat utrunque,
At non tertia pars lateris. nam non minor illis,
Sed stellis longe densis præclara relucet.
Inferior paulò est Aries, & flamen ad austri
Inclinatior. atq; etiam uehementius illi
Pisces, quorum alter paulo prælabitur ante,
Et magis horrisonis Aquilonis tangitur alis.
Atq; horum & caudis duplices uelut esse catenæ
Dicantur, sua diuersæ per lumina serpunt,
Atq; una tandem in stella communiter hærent,
Quam ueteres soliti cœlestem dicere Nodum.
Andromedæ læuo ex humero signum

Ac positum poteris suprà cognoscere piscem.
Et pedibus uatum summo natum Ioue Perseum,
Quos humero retinet defixo corpore Perseus,
Qui summa ab regione Aquilonis flamina pulsant.
Hic dextram ad sedes intendit Caßiopeiæ,
Diuersosq; pedes uinctos talaribus aptis.
Puluerulentus uti, de terra lapsu' repente
In cœlum uictor magnum sub culmine portat.
At propter læuum genu omni ex parte locatas
Paruas Vergilias tenui cum luce uidebis.
Hæ septem uulgò perhibentur more uetusto
Stellæ, cernuntur uero sex undiq; paruæ.
At non interijsse putari conuenit unam,
Sed frustra temere à uulgo ratione sine ulla
Septem dicier, ut ueteres statuere poetæ,
Aeterno cunctas æuo qui nomine dignant.
Alcyone, Meropeq;, Celeno, Taygeteq;,
Electre, Steropeq;, simul sanctißima Maia.
Hæ tenues paruo labentes lumine lucent.
At magnum nomen signi clarumq; uocatur,
Propterea quòd & æstatis primordia claret,
Et post hiberni præpandens temporis ortus,
Admonet ut mandent mortales semina terris.
Inde Fides leuiter posita & conuexa uidetur,
Mercurius paruus manibus quam dicitur olim
Infirmis fabricatus, in alta sede locasse.
Quæ genu ad læuum Nisi delapsa resedit,
Atq; inter flexum genu & caput alitis hæsit.

Nanq;

ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς ἰχθύος ἔστω
σῆμα βορειοτέρου. μάλα γάρ νύ οἱ ἐγγύθεν ἐστίν.
ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπισημαίνοιεν
περσέως, οἵ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται.
αὐτὰρ ὅγ' ἐν βορέῳ φέρεται περιμήκετος ἄλλων.
καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσται
πενθερίου δίφροιο. τὰ δ' ἐν ποσὶν οἷα διώκων
ἴχνια μηκύνει, κεκονισμένος ἐν διῒ πατρί.
ἄγχι δὲ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
πληϊάδες φορέονται. ὁ δ' οὐ μάλα πολλὸς ἁπάσας
χῶρος ἔχει. καὶ δ' αὐταὶ ἐπισκέψασθαι ἀφαυραί.
ἑπτάποροι δὴ ταίγε μετ' ἀνθρώπους ὑδέονται,
ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
οὐ μέν πως ἀπόλωλεν ἀπευθὴς ἐκ διὸς ἀστὴρ,
ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν. ἀλλὰ μάλ' αὔτως
εἴρεται. ἑπτὰ δὲ κεῖναι ἐπιῤῥήδην καλέονται,
ἀλκυόνη, μερόπη τε, κελαινώτ', ἠλέκτρη τε,
καὶ στερόπη, καὶ τηϋγέτη, καὶ πότνια μαῖα.
αἱ μὲν ὁμῶς ὀλίγαι καὶ ἀφεγγέες· ἀλλ' ὀνομασταὶ
ἦρι καὶ ἑσπέριαι, ζεὺς δ' αἴτιος, εἱλίσσονται,
ὅς σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο
σημαίνειν ἐκέλευσεν, ἐπερχομένου τ' ἀρότοιο.
καὶ χέλυς, ἥτ' ὀλίγη. τὴν δ' ἄρ' ἔτι καὶ παρὰ λίκνῳ
ἑρμείας ἐτόρνησε. λύρην δέ μιν εἶπε λέγεσθαι.
κὰδ δ' ἔθετο προπάροιθεν ἀπευθέος εἰδώλοιο,
οὐρανὸν εἰσαγαγών. τὸ δ' ἐπὶ σκελέεσσι πέτηλον

γούνατ

γόνατι οἱ σκαιῷ πελάει. κεφαλὴ γε μὲν ἄκρη
ἀντιπέρην ὄρνιθος ἑλίσσεται, ἡ δὲ μεσηγὺ
ὀρνιθέης κεφαλῆς καὶ γόνατος ἐστήρικται.
ἤτοι γὰρ καὶ ζηνὶ παρατρέχει αἰόλος ὄρνις.
ἀλλ᾽ ὁ μὲν ἠερόεις. τὰ δέ οἱ ἐπιτετρήχυνται
ἄστρασιν, οὔτι λίην μεγάλοις, ἀτὰρ οὐ μὲν ἀφαυροῖς.
αὐτὰρ ὅγ᾽ εὐδιόωντι ποτὴν ὄρνιθι ἐοικὼς
οὔριος εἰς ἑτέρην φέρεται, κατὰ δεξιὰ χειρὸς
κηφῆος ταρσοῖο τὰ δεξιὰ πείρατα τείνων.
λαιῇ δὲ πτέρυγι σκαρθμὸς παρακέκλιται ἵππου.
τὸν δὲ μετασκαίροντα δύ᾽ ἰχθύες ἀμφινέμονται
ἵππον. πὰρ δ᾽ ἄρα οἱ κεφαλῇ χεὶρ ὑδροχόοιο
δεξιτερὴ τετάνυσθ᾽. ὁ δ᾽ ὀπίτερος αἰγοκερῆος
τέλλεται. αὐτὰρ ὅγε πρότερος καὶ νειόθι μᾶλλον,
κέκλιται αἰγόκερως, ἵνα τρέπετ᾽ ἠελίοιο.
μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσῃ
πεπταμένῳ πελάγει κεχρημένος, οὔτε κεν ἠοῖ

πολλὴν πειρήνειας, ἐπεὶ ταχινώταταί εἰσιν,

οὔτ᾽ ἄν τοι νυκτὸς πεφοβημένῳ ἐγγύθεν ἠὼς
ἔλθοι, ἢ μάλα πολλὰ βοωμένῳ. οἱ δ᾽ ἀλεγεινοὶ
τῆμος ἐπιρρήσσουσι νότοι, ὁπότ᾽ αἰγοκερῆι
συμφέρετ᾽ ἠέλιος. τότε δὴ κρύος ἐκ διός ἐστι
ναύτῃ μαλκιόωντι κακώτερον. ἀλλὰ καὶ ἔμπης

Nanq; eſt Ales auis, lato ſub tegmine cœli
Quæ uolat, & ſerpens geminis ſecat aëra pennis.
Altera pars huic obſcura eſt, & luminis expers:
Altera nec paruis nec claris lucibus ardet,
Sed mediocre iacit quatiens è corpore lumen:
Hæc dextram Cephei dextro pede pellere palmam
Geſtit, iam uero clinata eſt ungula uehemens
Fortis Equi propter pennati corporis alam.
Ipſe autem labens multis Equus ille tenetur
Piſcibus. hinc ceruix dextra mulcetur Aquari.
Tum gelidum ualido de corpore frigus anhelans,
Corpore ſemifero magno Capricornus in orbe,
Quem cum perpetuo ueſtiuit lumine Titan
Brumali flectens contorquet tempore curſum:
Hoc caue te ponto ſtudeas committere menſe.
Nam non longinquum ſpacium labêre diurnum,
Non hyberna cito uoluetur curriculo nox.
Humida non ſeſe ueſtris aurora querelis
Ocyus oſtendet, clari prænuncia ſolis:
At ualidis æquor pulſabit uiribus auſter,
Tum fixum tremulo quatietur frigore corpus.
Sed tamen anni iam labuntur tempore toto,
Nec cui ſignorum cedunt, neq; flamina uitant,
Nec metuunt canos minitanti murmure fluctus.
Atq; etiam ſupero naui pelagoq; uagato
Menſe, Sagittipotens ſolis tum ſuſtinet orbem.

Nam

Nam iam cum minus exiguo lux tempore præsto est,
Hoc signum ueniens poterunt prænoscere nautæ.
Iam prope præcipiti ante licebit uisere nocti,
Vt sese ostendens emergat Scorpius alte,
Posteriore trahens flexum ui corporis arcum.
Iam supra cernes Arcti caput esse minoris,
Et magis erectum ad summum uersarier orbem.
Tum sese Orion toto iam corpore condit
Extrema prope nocte, & Cepheus conditur ante,
Lumborum tenus à palma depulsus ad undas
Hic miß          iacet una sagitta
Quam propter nitens penna conuoluitur ales,
Et clinata magis paulo est Aquilonis ad auras.
At propter se Aquila ardenti cum corpore portat,
Ignistrum mulcens tremebundis æthera pennis,
Non nimis ingenti cum corpore, sed graue mœstis
Ostendit nautis perturbans æquora signum.
Tum magni currens Capricorni corpora propter
Delphinus iacet, haud nimio lustratu nitore,
Præter quadruplices stellas in fronte locatas,
Quas interuallum binas disterminat unum,
Cætera pars læte tenui cum lumine serpit.
Illæ quæ fulgent luces ex ore corusco,
Sunt inter partes gelidas Aquiloni locatæ,
Atq; inter spacium & læti uestigia solis.
At pars inferior Delphini fusca uidetur,

Inter

ἤδη πάντ' ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
πορφύρει. ἴκελοι δὲ κολυμβίσιν αἰθυίῃσι
πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες
ἥμεθ' ἐπ' αἰγιαλοὺς τετραμμένοι· οἱ δ' ἔτι πόρσω
κλύζονται. ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.
Καὶ δ' ἂν ἔτι προτέρῳ γε θαλάσσῃ πολλὰ πεπονθώς,
τόξον ὅτ' ἠέλιος καίῃ καὶ ῥυτῆρα τόξου,
ἑσπέριος κατάγοιο, πεποιθὼς οὐκέτι νυκτί.
σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
σκορπίος ἀντέλλων εἴη πυμάτης ἐπὶ νυκτός.
ἤτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου
τοξευτής. ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
σκορπίος ἀντέλλων. ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον.
τῆμος καὶ κεφαλὴ κυνοσουρίδος ἀκρόθι νυκτὸς
ὕψι μάλα τροχάει. ὁ δὲ δύεται ἠῶθι πρὸ
ἀθρόος ὠρίων, κηφεὺς δ' ἀπὸ χειρὸς ἐπ' ἰξύν.
ἔστι δέ τις προτέρω βεβλημένος ἄλλος ὀϊστός,
αὐτὸς ἄτερ τόξου. ὁ δέ οἱ παραπέπταται ὄρνις
ἀσσότερον βορέω. χειόθεν δ' ἕ οἱ ἄλλος ἀήτης,
οὐ τόσος μεγέθει. χαλεπός γε μὲν ἐξ ἁλὸς ἐλθεῖν
νυκτὸς ἀπερχομένης. καί μιν καλέουσιν ἀητόν.
δελφὶς δ' οὐ μάλα πολλὸς ἐπιτρέχει αἰγοκερῆϊ,
μεσσόθεν ἠερόεις. τὰ δέ οἱ περὶ τέσσαρα κεῖται
γλήνεα παρβολάδην δύο, πὰρ δύο πεπτηῶτα.
καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
μεσσηγὺς κέχυται. τὰ δὲ νειόθι τέλλεται ἄλλα

πολλὰ

πολλὰ μεταξὺ νότοιο καὶ ἠελίοιο κελεύθου.

λοξὸς μὲν ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς
ὠρίων. μὴ κεῖνον ὅτις καθαρῇ ἐνὶ νυκτὶ
ὑψοῦ πεπτηῶτα παρέρχεται, ἀλλὰ πεποίθοι
οὐρανὸν εἰσανιδὼν προφερέστερα θηήσασθαι.
τοῖος καὶ φρουρὸς ἀειρομένῳ ὑπὸ νώτῳ
φαίνεται ἀμφοτέροισι κύων ὑπὸ ποσσὶ βεβηκὼς
ποικίλος. ἀλλ' οὐ πάντα πεφασμένος, ἀλλὰ κατ' αὐτὴν
γαστέρα κυάνεος περιτέλλεται. ἡ δέ οἱ ἄκρη
ἀστέρι βέβληται δεινῷ γένυς. ὅς ῥα μάλιστα
ὀξέα σειριάει. καί μιν καλέουσ' ἄνθρωποι

σείριον. οὐκ ἔτι κεῖνον ἅμ' ἠελίῳ ἀνιόντα
φυταλιαὶ ψεύδονται ἀναλδέα φυλλιόωσαι.
ῥεῖα γὰρ οὖν ἔκρινε διὰ στίχας ὀξὺς ἀΐξας.
καὶ τὰ μὲν ἔρρωσε, τῶν δὲ φλόον ὤλεσε πάντα.
κείνου καὶ κατιόντος ἀκούομεν. οἱ δέ οἱ ἄλλοι
σήμ' ἔμεναι μελέεσσιν ἐλαφρότεροι περίκεινται.

Inter ſolis iter, ſimul inter flamina uenti,
Viribus erumpit quà ſummi ſpiritus auſtri.
Exinde Orion obliquo corpore nitens,
Inferiora tenet truculenti corpore Tauri.
Quem qui ſuſpiciet in cœlum nocte ſerena,
Latè diſperſum non uiderit, abdita uero
Cætera ſe ſperet cognoſcere ſigna poteſſe.
Nanq; pedes ſubter rutilo cum lumine claret,
Feruidus ille Canis ſtellarum luce refulgens.
Hunc tegit obſcuris ſubter præcordia ueſper.
Ver toto ſpirans rabido de corpore flammam,
Aeſtiferos ualidis erumpit flatibus ignes,
Totus ab ore micans iacitur mortalibus ardor.
Hic ubi ſe pariter cum ſole in lumina cœli,
Extulit, haud patitur ſoliorum tegmine fruſtra
Suſpenſos animos arbuſta ornata tenere.
Nam quorum ſtirpes tellus amplexa prehendit,
Hæc augens anima uitali flamina mulcet.
At quorum nequeunt radices ſindere terras,
Denudat ſolijs ramos & cortice truncos.
Hunc propter, ſubterq; pedes, quos diximus ante,
Oriona, iacet leuipes Lepus: hic fugit, ictus
Horrificos metuens roſtri tremebundus acuti:
Nam Canis infeſto ſequitur ueſtigia curſu.
Præcipitantem agitans, oriens iam deniq; paulum,
Curriculum nunquam defeſſo corpore ſedans.

At Canis ad caudam ſerpens prælabitur Argo,
Conuerſam præ ſe portans cum lumine puppim,
Non aliæ naues ut in alto pandere proras
Ante ſolent, roſtro Neptunia prata ſecantes,
Sed conuerſa retro cœli ſemper loca portat.
Sicut cum cœptant tutos conſtringere portus,
Obuertunt nauem magno cum pondere nautæ.
Aduerſamq́; trahunt optata ad littora puppim.
Sic conuerſa uetus ſuper æthera uertitur Argo,
Atq; uſque à prora ad cœlum ſine lumine malum,
À malo ad puppim cum lumine clara uidetur,
Inde gubernaclum diſperſo lumine fulgens
Clari poſteriora Canis ueſtigia condit.
Exin ſemotam procul in tutoq́; locatam
Andromedam, tamen explorans fera quærere Piſtrix
Pergit, & uſque ſitam ualidas Aquilonis ad auras
Cærula ueſtigat, finita in partibus auſtri.
Hanc Aries tegit, & ſquammoſi corpore Piſces,
Fluminis illuſtris tangentem corpore ripas,
Nanq; etiam Eridanum cernes in parte locatum,
Cœli, funcſtum magnis cum uiribus amnem,
Quem lachrymis mœſtæ Phaëtontis ſæpe ſorores
Sparſerunt, letum mœrenti uoce canentes.
Hanc Orionis ſub læua cernere planta
Serpentem poteris, proceraq́; uincla uidebis,
Quæ retinent Piſces caudarum parte locata.

Flumine

ποσσὶ δ' ὠρίωνος ὑπ' ἀμφοτέροισι λαγωὸς
ἐμμενὲς ἤματα πάντα διώκεται. αὐτὰρ ὅγ' αἰεὶ
σείριος ἐξόπιθεν φέρεται μετιόντι ἐοικὼς,
καί οἱ ἐπαντέλλει, καί μιν κατιόντα διώκει.

ἡ δὲ κυνὸς μεγάλοιο κατ' οὐρὴν ἕλκεται ἀργὼ
πρυμνόθεν. οὐ γὰρ τῇ γε κατὰ χρέος εἰσὶ κέλευθοι,
ἀλλ' ὄπιθεν φέρεται τετραμμένη. οἷα καὶ αὐταὶ
νῆες, ὅταν δὴ ναῦται ἐπιστρέψωσι κορώνην
ὅρμον ἐσερχόμενοι, τὴν δ' αὐτίκα πᾶς ἀνακόπτει
νῆα, παλιρροθίη δὲ καθάπτεται ἠπείροιο.
ὣς ἥγε πρύμνηθεν ἰησονὶς ἕλκεται ἀργώ.
καὶ τὰ μὲν ἠερίη καὶ ἀνάστερος, οἷα παρ' αὐτὸν
ἱστὸν ἀπὸ πρῴρης, φέρεται. τὰ δὲ πᾶσα φαεινή.
καί οἱ πηδάλιον κεχαλασμένον ἀστήρικται
ποσσὶν ὑπ' οὐραίοισι κυνὸς προπάροιθεν ἰόντος.
τὴν δὲ, καὶ οὐκ ὀλίγον περ ἀπόπροθι πεπτηυῖαν
ἀνδρομέδην, μέγα κῆτος ἐπερχόμενον κατεπείγει.
ἡ μὲν γὰρ θρηΐκιος ὑπὸ πνοιῇ βορέαο
κεκλιμένη φέρεται. τὸ δέ οἱ νότος ἐχθρὸν ἀγινεῖ
κῆτος, ὑπὸ κριῷ τε καὶ ἰχθύσιν ἀμφοτέροισιν,
Βαιὸν ὑπὲρ ποταμοῦ βεβλημένον ἀστερόεντος.
οἶον γὰρ κἀκεῖνο θεῶν ὑπὸ ποσσὶ φορεῖται
λείψανον ἠριδανοῖο πολυκλαύστου ποταμοῖο.

καὶ τὸ μὲν ὠρίωνος ὑπὸ σκαιὸν πόδα τείνει.
δεσμοὶ δὲ οὐραῖοι, τοῖς ἰχθύες ἄκροι ἔχονται,
ἄμφω συμφορέονται ἀπ' οὐραίων κατιόντες.
κητέης δ' ὄπιθεν λοφιῆς ἐπιμὶξ φορέονται,
εἰς ἓν ἐλαυνόμενοι, ἐνὶ ἀστέρι πειραίνονται
κήτεος, ὃς κείνου πρώτῃ ἐπίκειται ἀκάνθῃ.
οἳ δ' ὀλίγῳ μέτρῳ, ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ,
μεσσόθι πηδαλίου καὶ κήτεος εἱλίσσονται,
γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι λαγωοῦ.
νώνυμοι. οὐ γάρ τοίγε τετυγμένου εἰδώλοιο
βεβλέαται μελέεσσιν ἐοικότες, οἷά τε πολλὰ
ἑξείης στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
αὐομένων ἐτέων· τά τις ἀνδρῶν οὐκ ἔτ' ἐόντων
ἐφράσατ' ἠδ' ἐνόησεν ἅπαντ' ὀνομαστὶ καλέσσαι,
ἤλιθα μορφώσας. οὐ γάρ κε δυνήσατο πάντων,
οἷά τ' ἐκκεκριμένων ὄνομ' εἰπεῖν, οὐδὲ δαῆναι.
πολλοὶ γὰρ πάντῃ, πολέων δ' ἐπὶ ἶσα πέλονται,
μέτρα τε καὶ χροιή, πάντες γε μὲν ἀμφιέλικτοι.
τῷ καὶ ὁμηγερέας γε ἐείσατο ποιήσασθαι
ἀστέρας, ὄφρ' ἐπιτὰξ ἄλλῳ παρακείμενος ἄλλος
εἴδεα σημαίνοιεν, ἄφαρ δ' ὀνομαστὰ γένοιτο
ἄστρα. καὶ οὐκ ἔτι νῦν ὑπὸ θαύματι τέλλεται ἀστήρ,
ἀλλ' οἱ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισι
φαίνονται. τὰ δ' ἔνερθε διωκομένοιο λαγωοῦ
πάντα μάλ' ἠερόεντα, καὶ οὐκ ὀνομαστὰ φέρονται.
νειόθι δ' αἰγοκερῆος ὑπὸ πνοιῇσι νότοιο

Flumine mixta retro ad Pistricis terga reuerti.
Hinc una stella uertuntur, quam iacit ex se
Pistricis spina ualida cum luce refulgens.
Exinde exiguæ tenui cum lumine multæ
Inter Pistricem fusæ sparsæq; uidentur
Atq; Gubernaclum stellæ, quas contigit omneis
Formidans acrem morsum Lepus. his neq; nomen
Nec formam ueteres certam statuisse uidentur.

Nam quæ sideribus claris natura poliuit,
Et uario pinxit distinguens lumine formas,
Hæc ille astrorum custos ratione notauit,
Signaq; signauit cœlestia nomine uero.
Has autem quæ sunt paruo sub culmine fusæ,
Consimili specie stellas pariliq; nitore,
Non potuit nobis nota clarere figura.

Voluitur inferior Capricorno Piscis ad Austrum,
Pistricem obseruans, procul illis piscibus hærens:
At prope conspicies experteis nominis omnes

Inter Pistricem & Piscem quem diximus Austri,
Stellas sub pedibus sparsas radiantis Aquari.
Propter Aquarius obscurum dextra rigat amnem,
Exiguo qui stellarum candore nitescit.
È multis tum his duo late lumina fulgent.

Vnum sub magni pedibus cernetur Aquari,
Quod superest gelido delapsum lumine fontis,
Spumiferam subter caudam Pistricis adhæsit.
Ast omnes stellæ perhibentur nomine aquaï.
Hic aliæ uolitant paruo cum lumine claræ,
Atque priora pedum subeunt uestigia magni
Arcitenentis & obscuræ sine nomine condunt,
Inde Nepæ cernes propter fulgentis acumen
Aram, quam flatu permulcet spiritus Austri,
Exiguo superum quæ lumina tempore tranat.
Nam procul Arcturo est aduersa parte locata,
Arcturo magnum spacium supra dedit, orbem
Iuppiter hunc paruum inferiori parte locauit:
Hic tamen æterno inuisens loca curriculo nox,
Signa dedit nautis, cuncti quæ noscere possent,
Commiserans hominum metuendos undiq; casus.
Nam cum fulgentem cernes sine nubibus atris
Aram, sub medica cœli regione locatam,
À summa parte obscura caligine tectam:

Tum

ἰχθὺς, ἐς κῆτος τετραμμένος ἠώρηται,
οἶος ἀπὸ προτέρων. νότιον δέ ἑ κικλήσκουσιν.
ἄλλοι δὲ σποράδην ὑποκείμενοι ὑδροχοῆϊ
κήτεος αἰθερίοιο καὶ ἰχθύος ἠερέθονται
μεσσόθι, νωχελέες καὶ ἀνώνυμοι. ἐγγύθι δέ σφων
δεξιτερῆς ἀπὸ χειρὸς ἀγαυοῦ ὑδροχόοιο,
οἵη τίς τ' ὀλίγη χύσις ὕδατος ἔνθα καὶ ἔνθα
σκιδναμένου, χαροποὶ καὶ ἀναλδέες εἱλίσσονται.
ἐν δέ σφιν δύο μᾶλλον ἐειδόμενοι φορέονται
ἀστέρες οὔτ' ἔτι πολλὸν ἀπήοροι, οὐδὲ μάλ' ἐγγὺς,
εἷς μὲν ὑπ' ἀμφοτέροισι ποσὶ καλός τε μέγας τε
ὑδροχόου, ὁ δὲ κυανέου ὑπὸ κήτεος οὐρῆ.
τοὺς πάντας καλέουσιν ὕδωρ. ὀλίγοι γε μὲν ἄλλοι
νειόθι τοξευτῆρος ὑπὸ προτέροισι πόδεσσι
δινωτοὶ κύκλοι περιηγέες εἱλίσσονται.
αὐτὰρ ὑπ' αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο
σκορπίου ἄγχι νότοιο θυτήριον αἰωρεῖται.
τοῦ δή τοι ὀλίγον μὲν ἐπὶ χρόνον ὑψόθ' ἐόντος.

πεύσεαι ἀντιπέρην γὰρ ἀείρεται ἀρκτούροιο.
καὶ τῷ μὲν μάλα πολλὰ μετήοροί εἰσι κέλευθοι
ἀρκτούρῳ, τὸ δὲ θᾶσσον ὑφ' ἑσπερίην ἅλα νεῖται.
ἀλλ' ἄρα καὶ περὶ κεῖνο θυτήριον ἀρχαίη νὺξ,
ἀνθρώπων κλαίουσα πόνον, χειμῶνος ἔθηκεν
εἰνάλιον μέγα σῆμα. κεδαιόμεναι γὰρ ἐκείνῃ
νῆες ἀπὸ φρενός εἰσι. τὰ δ' ἄλλοθεν ἄλλα πιφάσκει

σήματ᾽, ἐποικτείρουσα πολυρροθίους ἀνθρώπους.
τῷ μή μοι πελάγει νεφέων εἰλυμένον ἄλλων
εὔχεο μεσσόθι κεῖνο φανήμεναι οὐρανῷ ἄστρον,
αὐτὸ μὲν ἀνέφελόν τε καὶ ἀγλαόν, ὕψι δὲ μᾶλλον
κυμαίνοντι νέφει πεπιεσμένον, οἷά τε πολλὰ
θλίβετ᾽ ἀνατέλλοντος ὀπωρινοῦ Βορέαο.
πολλάκι γὰρ καὶ τῷ νότῳ ἔπι σῆμα πιτύσκει
νὺξ αὐτὴ, μογεροῖσι χαριζομένη ναύτῃσιν.
οἳ δ᾽ εἰ μέν κε πίθωνται ἐναίσιμα σημαινούσῃ,
αἶψά τε κοῦφά τε πάντα, καὶ ἄν τι ποιήσωνται,
αὐτίκ᾽ ἐλαφρότερος πέλεται πόνος. εἰ δέ κε νηὶ
ὑψόθεν ἐμπλήξει δεινὴ ἀνέμοιο θύελλα,
αὔτως ἀπρόφατος, τὰ δὲ λαίφεα πάντα ταράξῃ,
ἄλλοτε μὲν καὶ πάμπαν ὑπόβρυχα ναυτίλλονται,
ἄλλοτε δὲ, αἴ κε Διὸς παρανισσομένοιο τύχωσιν
εὐχόμενοι, Βορέω δὲ παρατρέψει ἀνέμοιο,
πολλὰ μάλ᾽ ὀτλήσαντες, ὁμῶς πάλιν ἐσκέψαντο
ἀλλήλους ἐπὶ νηΐ. νότον δ᾽ ἐπὶ σήματι τούτῳ
δείδιθι, μέχρι Βορῆος ἀπαστράψαντος ἴδηαι.
εἰ δέ κεν ἑσπερίης μὲν ἁλὸς Κενταύρου ἀπείη
ὦμος ὅσον προτέρης, ὀλίγη δέ μιν εἰλύοι ἀχλὺς
αὐτὸν, ἀτὰρ μετόπισθεν ἐοικότα σήματα τεύχοι
νὺξ ἐπὶ παμφανόωντι Θυτηρίῳ, οὔ σε μάλα χρὴ
ἐν νότου, ἀλλ᾽ εὔροιο περιασκοπέειν ἀνέμοιο.
δήεις δ᾽ ἄστρον ἐκεῖνο δύω ὑποκείμενον ἄλλοις,
τοῦ γάρ τοι τὰ μὲν ἀνδρὶ ἐοικότα, νειόθι κεῖται

σκορπίου,

*Tum ualidis fugito deuitans uiribus auſtrum.*

*Quem ſi proſpiciens uitaueris, omnia caute*
*Armamenta locans, tuto labêre per auras:*
*Sin grauis inciderit uehementi flamine uentus,*

*Perfringet celſos defixo robore malos,*
*Vt res nulla feras poßit mulcere procellas*
*Ni parte ex Aquilonis opacam pellere nubem*
*Cœperit, & ſubitis auris diduxerit Ara.*

*Sin humeros medio in cœlo Centauros habebit,*
*Ipſeq; cærulea contectus nube feretur,*
*Atq; aram tenui caligans ueſtiet umbra,*
*Ad ſignorum obitum uis eſt metuenda Fauoni.*
*Ille autem Centauros in alta ſede locatus,*

*Qua ſeſe clarum collucens Scorpios infert,*
*Hæc ſubter partem præportans ipſe uirilem,*

Cedit, Equi & partes properat coniungere Chelis.
Hic dextra pergens quadrupes qua uasta tenetur,
Quam nemo certo donauit nomine Graiûm,
Tendit, & illustrem truculentus cedit ad Aram.
Hic sese inferni de partibus erigit Hydra
Præcipiti lapsu flexo cum corpore serpens.
Hoc caput atq; oculos torquens ad terga Nepaï,
Conuexoq; sinu subiens inferna Leonis,
Centaurum leni contingit lubrica cauda.
In medioq; sinu fulgens Cratera relucet:
Extrema nitens plumato corpore Coruus,
Rostro tundit, & hic, Geminis est ille sub ipsis
Ante Canem, Graio Procyon qui nomine fertur.
Hæc sunt quæ uisens nocturno tempore signa,
Legitimo cernes cœlum lustrantia cursu.
Nam quæ per bis sex signorum labier orbes
Quinq; solent stellæ, simili ratione notari
Non possunt: quia quæ faciunt uestigia cursu,
Non eodem semper spacio portata teruntur.
Sic malunt errare uagæ per nubila cœli,
Atq; suos uario motu metirier orbes.
Hæc faciunt magnos longinqui temporis annos,
Cum redeunt ad idem cœli sub tegmine signum.
Quare ego nunc nequeo totos euoluere cursus:
Verum hæc quæ semper certo uoluuntur in orbe
Fixa simul, magnos similes uertentibus orbes

Quatuor,

σκορπίου, ἱππουραῖα δ' ὑπὸ σφίσι χηλαὶ ἔχουσιν.
αὐτὰρ ὅ γε δεξιτερὴν αἰεὶ τανύοντι ἔοικεν
ἀντία δεινοτάτοιο θυτηρίου. ἐν δέ οἱ ἀπρὶξ
ἄλλο μάλ' ἐσφήκωται ἐληλάμενον διὰ χειρὸς
θηρίον. ὣς γάρ μιν πρότεροι ἐπεφημίξαντο.
ἀλλ' ἔτι γάρ τι καὶ ἄλλο περαιόθεν ἕλκεται ἄστρον,
ὕδρην μιν καλέουσι. τὸ δὲ ζώοντι ἐοικὸς
ἠνεκὲς εἰλεῖται. καί οἱ κεφαλὴ ὑπὸ μέσσον
καρκίνον ἱκνεῖται, σπείρη δ' ὑπὸ σῶμα λέοντος,
οὐρὴ δὲ κρέμαται ὑπὲρ αὐτοῦ κενταύροιο.
μέσσῃ δὲ σπείρῃ κρητὴρ, πυμάτῃ δ' ἐπίκειται
εἴδωλον κόρακος, σπείρην κόπτοντι ἐοικός.
ναὶ μὴν καὶ προκύων διδύμοις ὕπο καλὰ φαείνει.
ταῦτά κε θηήσαιο παρερχομένων ἐνιαυτῶν
ἑξείης παλίνωρα. τὰ γὰρ καὶ πάντα μάλ' αὔτως
οὐρανῷ εὖ ἐνάρηρεν ἀγάλματα νυκτὸς ἰούσης.
οἱ δ' ἐπιμὶξ ἄλλοι πέντ' ἀστέρες οὐδὲν ὁμοῖοι
πάντοθεν εἰδώλων δυοκαίδεκα δινεύοντες.
οὐκ ἂν ἔτ' εἰς ἄλλους ὁρόων ἐπιτεκμήραιο
κείνων, ᾗχι κέονται, ἐπεὶ πάντες μετανάσται.

μακροὶ δὲ σφέων εἰσὶν ἑλισσομένων ἐνιαυτοί.
μακρὰ δὲ σήματα κεῖται ἀπόπροθεν εἰς ἓν ἰόντων.
οὐδ' ἔτι θαρσαλέος κείνων ἐγὼ ἄρκιος εἴην
ἀπλανέων τά τε κύκλα, τά τ' αἰθέρι σήματ' ἐνισπεῖν.
ἤτοι μὲν τά γε κεῖται ἀλίγκια δινωτοῖσι

τέσσαρα. τῶν κε μάλιστα ποθὴ ὄφελός τε γένοιτο
μέτρα περισκοπέοντι ἀνυομένων ἐνιαυτῶν.
σήματα δ' εὖ μάλα πᾶσιν ἐπιῤῥήδην περίκειται
πολλά τε, καὶ χεσλόθεν πάντη συνεεργμένα πάντα.
αὐτοὶ δ' ἀπλανέες καὶ ἀρηρότες ἀλλήλοισι
πάντες. ἀτὰρ μέτρῳ γε δύω δύσιν ἀντιφέρονται.
εἴ ποτέ τοι νυκτὸς καθαρῆς ὅτε πάντας ἀγαυοὺς
ἀστέρας ἀνθρώποις ἐπιδείκνυται οὐρανίη νύξ,
οὐδέ τις ἀνδρανέων φέρεται νεομήνι σελήνη,
ἀλλὰ τάγε κνέφαος διαφαίνεται ὀξέα πάντα.
εἴ ποτέ τοι τῆμος δὲ περὶ φρένας ἵκετο θαῦμα,
σκεψαμένῳ πάντη κεκεασμένον εὐρέϊ κύκλῳ
οὐρανὸν, εἰ καί τις τοι ὑποστὰς ἄλλος ἔδειξε,
κεῖνο περιγληνὲς τροχαλὸν γάλα μιν καλέουσι.
τῷ δή τοι χροιὴν μὲν ἀλίγκιος οὐκέτι κύκλος
δινεῖται. τὰ δὲ μέτρα τόσοι πισύρων περ ἐόντων
οἱ δύο, τοὶ δὲ σφέων μέγα μείονες εἱλίσσονται.
τῶν ὁ μὲν ἐγγύθεν ἐστὶ κατερχομένου Βορέαο.
ἐν δέ οἱ ἀμφότεραι κεφαλαὶ διδύμων φορέονται.
ἐν δὲ τὰ γούνατα κεῖται ἀρηρότος ἡνιόχοιο.
λαιὴ δὲ κνήμη καὶ ἀριστερὸς ὦμος ἐπ' αὐτῷ
περσέως. ἀνδρομέδης δὲ μέσην ἀγκῶνος ὕπερθεν
δεξιτερὴν ἐπέχει. τὸ μὲν οἱ θέναρ ὑψόθι κεῖται
ἀσσότερον Βορέω γε, νότῳ δ' ἐπικέκλιται ἀγκών.
ὁπλαὶ δ' ἵππειοι, καὶ ὑπαύχενιον ὀρνίθειον
ἄκρη σὺν κεφαλῇ, καλοί τ' ὀφιούχεοι ὦμοι,

Quatuor, æterno lustrantes lumine mundum.
È quibus annorum uolitantia lumina nosces,
Quæ densis distincta licebit cernere signis.
Tum multos orbes magno cum lumine latos,
Vinctos inter se, & nodis cœlestibus aptos,
Atq; pari spacio duo cernes esse duobus.
Nam si nocturno cognoscens tempore cœlum,
Cum neq; caligans detergit sidera nubes,
Nec pleno stellas superaret lumine luna,
Vidisti magnum candentem serpere Circum:

Lacteus hic nimio fulgens candore notatur.
Hic non perpetuum detexens conficit orbem,
Sed spacio multum superest præstare duobus:
Dicitur & latè cœli lustrare cauernas,
Quorum alter tangens Aquilonis uertitur auras
Ora petens Geminorum, illustratum genu ardens,
In sese retinens Auriga portat utrunq;.
Hunc suprà, laua Perseus humeroq; sinistro,
Tangit, ad Andromedē hic dextra de parte tenetur.
Imponitq; pedes duplices Equus, & simul Ales
Ponit auis caput, & clinato corpore tergum,
Anguitenens humeris connittitur, illa recedens
Austrum consequitur deuitans corpore Virgo.
Inde Leo, & claro collucens lumine Cancer,

In quo consistens conuertit curriculum Sol
Aestiuus, medio distinguens corpore cursus.
Hic totus medius circo disiungitur ipso,
Pectoribus ualidis atq; aluo poßidet orbem.

Hunc octo in partes diuisum noscere circum,
Si potes, inuenies supero conuertier orbe,
Quinq; pari spacio. partes treis esse relictas,
Tempore nocturno quas uis inferna frequenter.
Alter ab infernis Austri conuertitur auris:
Ast alter medium subter secat hic Capricornum,
Atq; pedes gelidum riuum fundentis Aquari,
Cæruleæq; feram caudam Pistricis, & illum
Fulgentē Leporem, inde pedes Canis, et simul amplā
Argolicam retinet crebro cum lumine Nauem.
Tergaq́; Centauri, atq; Nepaï portat acumen.
Inde Sagittari defixum poßidet arcum.
Hunc à clarisonis auris Aquilonis ad Austrum
Condens postremum tangit rota feruida solis:
Exinde in superas brumali tempore flexu
Se recipit sedes. hinc orbi quinq; tributæ
Nocturnæ partes suprà, tres luce dicantur
Hasce inter, mediam in partem retinere uidetur
Tantus quantus erit collucens Lacteus orbis.
In quo autumnali atq; iterum sol lumine uerno
Exæquat

αὐτὸν δινεύοντες ἐληλάμενοι περὶ κύκλον
ἦ δ' ὀλίγον φέρεται νοτιωτέρη, οὐδ' ἐπιβάλλει,
παρθένος. ἀλλὰ λέων, καὶ καρκίνος, οἱ μὲν ἄρ' ἄμφω
ἑξείης κέαται βεβλημένοι. αὐτὰρ ὁ κύκλος
τὸν μὲν ὑπὸ στῆθος καὶ γαστέρα μέχρι παρ' αἰδῶ
τέμνει, τὸν δὲ διηνεκέως ὑπένερθε χελείου
καρκίνου. ἧχι μάλιστα διχαιόμενόν κε νοήσῃς
ὀρθόν, ἵν' ὀφθαλμοὶ κύκλου ἑκάτερθεν ἴοιεν.
τοῦ μὲν ὅσον τε μάλιστα δι' ὀκτὼ μετρηθέντος,
πέντε μὲν ἔνδια στρέφεται καθ' ὑπέρτατα γαίης,
τὰ τρία δ' ἐν περάτῃ. θέρεος δέ οἱ ἐν τροπαί εἰσιν.
ἀλλ' ὁ μὲν ἐν βορέῳ περὶ καρκίνον ἐστήρικται.
ἄλλος δ' ἀντιόωντι νότῳ μέσον αἰγοκερῆα
τέμνει, καὶ πόδας ὑδροχόου, καὶ κήτεος οὐρήν.
ἐν δέ οἱ ἐστὶ λαγωός, ἀτὰρ κυνὸς οὐ μάλα πολλήν
αἴνυται, ἀλλ' ὁπόσην ἐπέχει ποσίν. ἐν δέ οἱ ἀργώ,
καὶ μέγα κενταύροιο μετάφρενον. ἐν δέ τε κέντρον
σκορπίου, ἐν καὶ τόξον ἀγαυοῦ τοξευτῆρος.
τὸν πύματον καθαροῖο παρερχόμενος βορέαο
ἐς νότον ἠέλιος φέρεται. τρέπεται γε μὲν αὐτοῦ
χειμέριος, καί οἱ τρία μὲν περιτέλλεται ὑψοῦ

τῶν ὀκτώ, τὰ δὲ πέντε κατώρυχα δινεύονται.
μεσσόθι δ' ἀμφοτέρων, ὅσος πολιοῖο γάλακτος,
γαῖαν ὑποστρέφεται κύκλος διχόωντι ἐοικώς.
ἐν δέ οἱ ἤματα νυξὶν ἰσαίεται ἀμφοτέροισιν.

φθίνοντος

φθίνοντος θέρεος, τοτ' εἴαρος ἱσταμένοιο.
σῆμα δέ οἱ κριὸς, ταύροιό τε γούνατα κεῖται,
κριὸς μὲν κατὰ μῆκος ἐληλάμενος διὰ κύκλου,
ταύρου δὲ σκελέων ὅσση περιφαίνεται ὀκλάξ.
ἐν δέ τε οἱ ζώνη εὐφεγγέος ὠρίωνος,
καμπή τ' αἰθομένης ὕδρης ἔνι οἱ, καὶ ἐλαφρὸς
κρητήρ. ἐν δὲ κόραξ. ἔνι δ' ἀστέρες οὐ μάλα πολλοὶ
χηλάων ἐν. τῷ δ' ὀφιούχεα γοῦνα φορεῖται.
οὐ μὴν αἰητοῦ ἀπαμείρεται, ἀλλά οἱ ἐγγὺς
ζηνὸς ἀητεῖται μέγας ἄγγελος. ἡ δὲ κατ' αὐτὸν
ἱππείη κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται.
τοὺς μὲν παραβολάδην ὀρθοὺς περιβάλλεται ἄξων,
μεσόθι πάντας ἔχων. ὁ δὲ τέτρατος ἐσφήκωται
λοξὸς ἐν ἀμφοτέροις, οἱ μέν ῥ' ἑκάτερθεν ἔχουσι
ἀντιπέρην τροπικοί. μέσος δὲ ἑ μεσόθι τέμνει.
οὐκ ἂν ἀθηναίης χειρῶν δεδιδαγμένος ἀνὴρ,
ἄλλη κολλήσαιτο κυλινδόμενα τροχάλεια,
τοῖά τε καὶ τόσα πάντα περισφαιρηδὸν ἑλίσσων,
ὥς τά γ' ἐν αἰθερίᾳ πλαγίῳ συναρηρότα κύκλῳ,
ἐξ ἠοῦς ὦθι νύκτα διώκεται ἤματα πάντα.
καὶ τὰ μὲν ἀντέλλει τε καὶ ἀντία νειόθι δύει
πάντα παραβλήδην. μία δέ σφεων οὐδὲν ἑκάστου
ἐξείης ἑκάτερθε κατηλυσίη ἄνοδός τε.

αὐτὰρ ὅγ' ὠκεανοῦ τόσον παραμείβεται ὕδωρ,

Exæquat spacium lucis cum tempore noctis:
Hunc retinens Aries sublucet corpore totus,
Atq; genu flexo Taurus connititur ingens.
Orion claro contingens pectore fertur,
Hydra tenet flexu Crateram, Coruus adhæret.

Et paucæ Chelis stellæ, simul Anguitenentis
Sunt genua, & summi Iouis Ales nuncius instat.
Propter Equus capite & ceruicum lumine tangit,
Hosce æquo spacio deuinctos sustinet axis,
Per medios summo cœli de uertice tranans.
Ille autem claro quartus cum lumine circus,
Partibus extremis extremos continet orbes,
Et simul à medio media de parte secatur,
Atque obliquus in his nitens cum lumine fertur,
Vt nemo cui sancta manu doctißima Pallas
Solertem ipsa dedit fabricæ rationibus artem,
Tam tornare catè contortos poßiet orbes,
Quàm sunt in cœlo diuino lumine flexi,
Terram cingentes, ornantes lumine mundum,
Culmine transuerso retinentes sidera fulta.
Quatuor hi motu cuncti uoluuntur eodem,
Sed tantum supra terras, semper tenet ille
Curriculum oblique inflexus.
Quanto est diuisus Cancer spacio à Capricorno,

Ac ſubter terras ſpacium par eſſe neceſſe eſt.
Et quantos radios iacimus de lumine noſtro,
Quis lunæ conuexum * contingimus orbem,
Sex tantæ poterunt ſub eum ſuccedere partes,
Bina pari ſpacio cœleſtia ſigna tenentes.
Zodiacum hunc Græci uocitant, noſtriq; Latini
Orbem ſigniferum perhibebunt nomine uero.
Nam gerit hic uoluens bis ſex ardentia ſigna.
Aeſtifer eſt pandens feruentia ſidera Cancer.
Hunc ſubter fulgens cedit uis torua Leonis,
Quem rutilo ſequitur collucens corpore Virgo.
Exin proiectæ claro cum lumine Chelæ,
Ipſaq; conſequitur lucens uis magna Nepai.
Inde Sagittipotens dextra flexum tenet arcum.
Poſt hunc ore fero Capricornus uadere pergit.
Humidus inde loci collucet Aquarius orbem.
Exin ſquammiferi ſerpentes ludere Piſces.
Queis comes eſt Aries obſcuro lumine labens:
Inflexoq; genu proiecto corpore Taurus:
Et Gemini clarum iactantes lucibus ignem.
Hæc Sol æterno conueſtit lumine luſtrans,
Annua conficiens uertentia tempora curſus.
Hic quantum terris conuexus pellitur orbis,
Tantundem patens ſupra mortalibus extat.
Sex omni ſemper cedunt labentia nocte,
Tot cœlum iuſſu fugientia ſigna reuiſunt.

Hoc

ὅσσον ἀπ' αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
καρκίνον εἰς ἀνιόντα κυλίνδεται. ὅσσον ἀπ' αὐτῆς
ἀντέλλων ἐπέχει, τόσσον γέ μὲν ἄλλοθι δύνων.
ὅσσον δ' ὀφθαλμοῖο βολῆς ἀποτέμνεται αὐγή,
ἑξάκις ἂν τόσσ' ἥμιν ὑποδράμοι. αὐτὰρ ἑκάστη
ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα.
ζωΐδιον δὲ κύκλον ἐπίκλησιν καλέουσι.
τῷ ἐνὶ καρκίνος ἐστὶ, λέων τ' ἐπὶ τῷ, καὶ ὑπ' αὐτὸν
παρθένος, αἱ δ' ἐπί οἱ χηλαὶ, καὶ σκορπίος αὐτὸς,
τοξευτής τε, καὶ αἰγόκερως, ἐπὶ δ' αἰγοκερῆι

ὑδροχόος, δύο δ' αὐτὸν ἐπ' ἰχθύες ἀστερόωνται.
τοὺς δὲ μετὰ κριός, ταῦρός τ' ἐπὶ τῷ, δίδυμοί τε.
ἐν τοῖς ἠέλιος φέρεται δυοκαίδεκα πᾶσι,
πάντ' ἐνιαυτὸν ἄγων. καί οἱ περὶ τοῦτον ἰόντι
κύκλον, ἀέξονται πᾶσαι ἐπικάρπιοι ὧραι.
τοῦ δ' ὅσσον κοίλοιο κατ' ὠκεανοῖο δύηται,
τόσσον ὑπὲρ γαίης φέρεται, πάσῃ δ' ἐπὶ νυκτὶ
ἓξ αἰεὶ δύουσι δυωδεκάδος κύκλοιο.
τόσσαι δ' ἀντέλλουσι τόσον δ' ἐπὶ μῆκος ἑκάστη
νὺξ αἰεὶ τετάνυσται, ὅσον τέ περ ἥμισυ κύκλου
ἀρχομένης ἀπὸ νυκτὸς ἀείρεται ὑψόθι γαίης.
οὐκ ἂν ἀπόβλητον δεδοκημένῳ ἤματος εἴη

μοιράων σκέπτεσθαι, ὅτ' ἀντέλλῃσιν ἑκάστη.
αἰεὶ γὰρ τάων γε μιῇ συνανέρχεται αὐτὸς
ἠέλιος. τὰς δ' αὖ γε περισκέψαιο μάλιστα
εἰς αὐτὰς ὁρόων. ἀτὰρ εἰ νεφέεσσι μέλαιναι
γίνοντ', ἢ ὄρεος κεκρυμμέναι ἀντέλλοιεν,
σήματ' ἐπερχομένοισιν ἀρηρότα ποιήσασθαι.
αὐτὸς δ' ἂν μάλα τοι κεράων ἑκάτερθε διδοίη
ὠκεανὸς, τά τε πολλὰ περιστρέφεται ἑοῖ αὐτῷ,
νειόθεν ὁππήμος κείνων φορέῃσιν ἑκάστην.
οὐ οἱ ἀφαυρότατοι ὅτε καρκίνος ἀντέλλῃσιν
ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι περίκεινται,
τοὶ μὲν δύοντες, τοὶ δ' ἐξ ἑτέρης ἀνιόντες.
δύει μὲν στέφανος, δύει δὲ κατὰ ῥάχιν ἰχθύς.
ἥμισυ μέν κεν ἴδοιο μετήορον, ἥμισυ δ' ἤδη
ἐσχατιαὶ βάλλουσι κατερχομένου στεφάνοιο.
αὐτὰρ ὅ γ' ἐξόπιθεν τετραμμένος, ἄλλα μὲν οὔπω
γαστέρι νειαίρῃ, τὰ δ' ὑπέρτερα νυκτὶ φορεῖται.
τὸν δὲ καὶ εἰς ὤμους κατάγει μογερὸν ὀφιοῦχον
καρκίνος ἐκ γονάτων. κατάγει δ' ὄφιν αὐχένος ἐγγύς.
οὐδ' ἂν ἔτ' ἀρκτοφύλαξ εἴη πολὺς ἀμφοτέρωθεν,
μείων ἠμάτιος, τὸ δ' ἐπὶ πλέον ἔννυχος ἤδη.
τέτρασι γὰρ μοίραις ἤδη καλιόντα Βοώτην
ὠκεανὸς δέχεται. ὁ δ' ἐπὴν φάεος κορέσηται,
βουλυτῷ δ' ἐπέχει πλεῖον δίχα νυκτὸς ἰούσης,
ἦμος ὅτ' ἠελίοιο κατερχομένοιο δύηται.
κεῖναί τοι καὶ νύκτες ἐπ' ὀψὲ δύοντι λέγονται.

Hoc ſpacium tranans cæcis nox conficit umbris,
Quod ſupra terras prima de nocte relictum eſt.
Quod ſi ſolis aues certos cognoſcere curſus,
Ortus ſignorum nocturno tempore uiſes,
Nam ſemper ſignum exoriens Titan trahit unum.
Sin autem officiens ſignis mons obſtruet altus,
Aut adiment lucem cæca caligine nubes,
Certas ipſe notas cœli de tegmine ſumes.
Ortus atque obitus omneis cognoſcere poßit.
Quæ ſimul exiſtant cernes, quæ tempore eodem
Præcipitent obitum nocturno tempore noſces.
Iam ſimul ut ſupero ſe toto lumine Cancer
Extulit, extemplo cedit delapſa Corona,
Et loca conuiſit cauda tenus infera Piſcis.
Dimidiam retinens ſtellis diſtincta Corona
Partem, etiam ſupera atq; alia de parte repulſa eſt.
Quam tamen inſequitur Piſcis, nec totus ad umbras
Tractus, ſed ſupero contectus corpore cedit,
Atq; humeros uſq; à genibus Cancrumq; recondit
Anguitenẽs, ualidis magnum à ceruicibus Anguem.
Iam uero Arctophylax non æqua parte ſecatur.
Nam breuior clara cœli de parte uidetur.
Amplior infernas depulſus poßidet umbras,
Quatuor hic obiens ſecum deducere ſigna
Signifero ſolet ex orbi. tum ſerius ille
Cum ſupera ſeſe ſatiauit luce recedit,

Post mediam labens claro cum corpore noctem.
Hæc obscura tenens conuestit sidera tellus,

At parte ex alia claris cum lucibus errat
Orion humeris, & lato pectore fulgens
Et dextra retinens non cassum luminis ensem.
Sed cùm de terris uis est patefacta Leonis,
Omnia quæ Cancer præclaro detulit ortu,
Cedunt obscurata, simul uis maior *
Pellitur, ac flexo confidens corpore Nisus
Iam supero fermè depulsus lumine cedit,
Sed læuum genu atque illustrem liquit in altum
Plantam. tum contra exoritur clarum caput Hydræ,
Et Lepus, & Procyon, qui sese feruidus infert
Ante Canem, inde Canis uestigia prima uidentur.
Non pauca è cœlo depellens signa repente,
Exoritur candens illustria lumina Virgo,
Cedit clara Fides Cyllenia: mergitur unda
Delphinus, simul obtegitur depulsa Sagitta:
Atq; Auis ad summam caudam, primasq́; recedit
Pennas, & magnus pariter delabitur Amnis.
Hic Equus à capite, & longa ceruice latescit.
Longius exoritur iam claro corpore serpens,
Crateraq́; tenus lucet mortalibus Hydra.
Inde pedes Canis ostendit iam posteriores,
Et post ipse trahit claro cum lumine puppim.

ὥς οἱ μὲν δύουσιν. ὁ δ' ἀντίος οὐδὲν ἀεικής,
ἀλλ' εὖ μὲν ζώνῃ, εὖ δ' ἀμφοτέροισι φαεινὸς
ὤμοις ὠρίων, ξίφεος γε μὲν ἶφι πεποιθώς,
πάντα φέρων ποταμὸν, κέραος παρατείνεται ἄλλου.
ἐρχομένῳ δὲ λέοντι τὰ μὲν κατὰ πάντα φέρονται

καρκίνῳ ὅσ' ἐδύοντο. καὶ αἰετός. αὐτὰρ ὅγε γνὺξ
ἥμενος, ἄλλα μὲν ἤδη, ἀτὰρ γόνυ καὶ πόδα λαιὸν
οὔπω κυμαίνοντος ὑποστρέφει ὠκεανοῖο.

αὐτέλλει δ' ὕδρης κεφαλή, χαροπός τε λαγωός.
καὶ προκύων, πρότεροί τε πόδες κυνὸς αἰθομένοιο.

οὐ μὲν θὴν ὀλίγους γαίης ὑπὸ νείατα βάλλει
παρθένος αὐτέλλουσα. λύρη τότε κυλληναίη,
καὶ δελφὶς δύουσι, καὶ εὐποίητος ὀϊστός.
σὺν τοῖς ὄρνιθος πρῶτα πτερὰ μέσφα παρ' αὐτὴν
οὐρὴν καὶ ποταμοῖο παρηορίαι σκιόωνται.
δύνει δ' ἱππείη κεφαλή, δύνει δὲ καὶ αὐχήν.
αὐτέλλει δ' ὕδρη μὲν ἐπὶ πλέον, ἄχρι παρ' αὐτὸν
κρητῆρα. φθάμενος δὲ κύων πόδας αἴννυται ἄλλους,

ἕλκων ἐξόπιθεν πρύμναν πολυτειρέος ἀργοῦς.
ἡ δὲ θέει γαίης ἱστὸν διχόωσα κατ' αὐτόν,
παρθένος ἧμος ἅπασα περαιόθεν ἄρτι γένηται.

οὐδ' ἂν ἐπερχόμεναι χηλαὶ καὶ λεπτὰ φάουσαι,
ἄφραστοι περίοισιν. ἐπεὶ μέγα σῆμα Βοώτης
ἀθρόος ἀντέλλει βεβολημένος ἀρκτούροιο.
ἀργὼ δ' οὐ μάλα πᾶσα μετήορος ἔσσεται ἤδη.
ἀλλ' ὕδρη. κέχυται γὰρ ἐν οὐρανῷ ἤλιθα πολλή,
οὐρῆς ἂν δέοιτο. μόνον δ' ὧδε χηλαὶ ἄγουσιν
δεινὸν ἐφεστηῶτ' ὀφιούχεα. τοῦ μὲν ἔπειτα
δεξιτερὴν κνήμην αὐτοῦ ἐπιγουνίδος ἄχρις
αἰεὶ γνὺξ, αἰεὶ δὲ λύρῃ παραπεπληγῶτος.
ὅν τινα τῶν περ ἄϊστον ὑπουρανίων εἰδώλων
ἀμφοτέρων δύνοντα καὶ ἐξ ἑτέρης ἀνιόντα
πολλάκις αὐτονυχεὶ θηεύμεθα. τοῦ μὲν ἄρ' οἴη
κνήμη σὺν χηλῇσι φαείνεται ἀμφοτέρῃσι.
αὐτὸς δ' ἐν κεφαλὴν ἔτι που τετραμμένος, ἄλλῃ
σκορπίον ἀντέλλοντα μένει, καὶ ῥήτορα τόξου.
οἱ γάρ μιν φορέουσιν, ὁ μὲν μέσον ἄλλα τε πάντα,
χεῖρα δέ οἱ σκαιὴν κεφαλῇ θ' ἅμα τόξον ἀγινεῖ.
ἀλλ' ὁ μὲν ὣς τρίχα πάντα κατὰ μελεϊστὶ φορεῖται.
ἥμισυ δὲ στεφάνοιο, καὶ αὐτὴν ἔσχατον οὐρὴν
κενταύρου, φορέουσιν ἀνερχόμεναι ἔτι χηλαί.
τῆμος ἀποιχομένην κεφαλὴν μεταδύεται ἵππος,
καὶ προτέρου ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή.
δύει δ' ἀνδρομέδης κεφαλή. τὸ δέ οἱ μέγα δεῖμα
κήτεος ἠερόεις ἐπάγει νότος. ἀντία δ' αὐτὸς
κηφεὺς ἐκ βορέω μεγάλῃ ἀνὰ χειρὶ κελεύων.
καὶ τὸ μὲν ἐν λοφιὴν τετραμμένον, ἄχρι παρ' αὐτὴν

δύει.

Insequitur labens per cœli numina Nauis,
Hæc medium ostendit radiato stipite malum.
Et iamiam toto processit corpore Virgo.
At cum procedunt obscuro corpore Chelæ,
Existit pariter larga cum luce Bootes.
Cuius in aduerso est Arcturus corpore fixus,
Totáq; iam suprà fulgens prolabitur Argo,
Hydráq;, quòd latè cœlo dispersa tenetur,
Nondum tota latet, non caudam contigit umbra,
Iam dextrum genu, & decoratam lumine suram
Erigit ille uagans uulgato nomine Nisus,
Quem nocte extinctum atq; exortum uidimus una
Persæpe, ut paruum tranans geminauerit orbem.
Hic genu & suram cum Chelis erigit alte:
Ipse autem præceps obscura nocte tenetur,
Dum Nepa & Arcitenens inuisant lumina cœli.

Nam secum medium pandet Nepa, tollere uero
In cœlum totum exoriens conabitur arcum.
Hic tribus elatus cum signis corpore toto
Lucet, at exoritur media de parte Corona.
Caudáq; Centauri extremo candore refulget.
Hic se iam totum cæcas Equus abdit in umbras,
Quem rutila fulgens pluma præteruolat Ales.
Occidit Andromedæ clarum caput, & fera Pistrix
Labitur, horribiles epulas funesta requirens.

Hanc contra, Cepheus non cessat tendere palmas,
Illa usq; ad spinam mergens se cærula condit:
At Cepheus caput atq; humeros palmasq; reclinat.
Cum uero uis est uehemens exorta Nepaï,
Latè fusa uolat per terras fama uagatur
Vt, quondam Orion manibus uiolasse Dianam
Dicitur, excelsis errans in collibus amens,
Quos tenet, Aegæo defixa in gurgite *
Brachia quæ uiridi conuestit tegmine uitis.
Ille feras uecors amenti corde necabat,
Oenopionis auens epulas cœnare nitentes.
At uero pedibus subito perculsa Dianæ
Insula discessit, disiectaq; saxa reuellens
Perculit, & cæcas lustrauit luce lacunas.
È quibus ingenti existit cum corpore, præ se
Scorpios infestus præportans flebile acumen.
Hic ualido cupidè uenantem perculit ictu,
Mortiferum in uenas figens per uulnera uirus:
Ille graui moriens constrauit corpore terram.
Quare cum magnis sese Nepa lucibus effert,
Orion fugiens commendat corpora terris.
Tum uero fugit Andromeda, & Neptunia Pistrix
Tota latet. cedit conuerso corpore Cepheus,
Extremas medio contingens corpore terras.
Hic caput & superas potis est demergere partes,
Infera lumborum nunquam conuestiet umbra:

Nam

δύνει. ἀτὰρ κηφεὺς κεφαλῇ καὶ χειρὶ καὶ ὤμῳ,
καμπαὶ δ' ἂν ποταμοῖο, καὶ αὐτίκ' ἐπερχομένοιο
σκορπίου, ἐμπίπτουσιν ἐϋρρόου ὠκεανοῖο.
ὃς καὶ ἐπερχόμενος φοβέει μέγαν ὠρίωνα.
ἄρτεμις ἱλήκοι. προτέρων λόγος. οἵ μιν ἔφαντο
ἑλκῆσαι πέπλοιο χίῳ, ὅτε θηρία πάντα
καρτερὸς ὠρίων στιβαρῇ ἐπέκοπτε κορύνῃ,
θήρης ἀρνύμενος κείνῳ χάριν οἰνοπίωνι.
ἡ δέ οἱ ἐξ αὐτῆς ἐπετείνατο θηρίον ἄλλο
νήσου, ἀναρρήξασα μέσας ἑκάτερθε κολώνας,
σκορπίον. ὅς ῥά μιν οὖτα καὶ ἔκτανε πολλὸν ἐόντα
πλειότερος προφανείς. ἐπεὶ ἄρτεμιν ἤκαχεν αὐτήν.
τοὔνεκα δὴ καὶ φασὶ περαιόθεν ἐρχομένοιο
σκορπίου, ὠρίωνα περὶ χθονὸς ἔσχατα φεύγειν.

οὐ δὲ μὲν ἀνδρομέδης καὶ κήτεος ὅσσ' ἐλέλειπτο,
κείνου δ' ἀντέλλοντος ἀπευθέες. ἀλλ' ἄρα καί τοι
πανσυδίῃ φεύγουσιν. ὁ δὲ ζώνῃ τότε κηφεὺς
γαῖαν ἐπιξύει, τὰ μὲν ἐς κεφαλὴν μάλα πάντα
βάπτων ὠκεανοῖο, τὰ δ' οὐ θέμις, ἀλλὰ τά γ' αὐταὶ
ἄρκτοι κωλύουσι πόδας καὶ γοῦνα καὶ ἰξύν.
ἡ δὲ καὶ αὐτὴ παιδὸς ἐπείγεται εἰδώλοιο
δειλὴ κασσιέπεια. τὰ δ' οὐκέτι κατὰ κόσμον
φαίνεται ἐκ δίφροιο πόδες καὶ χεῖρες ὕπερθεν.

ἀλλ'

ἀλλ' ἤγ' ἐς κεφαλὴν ἴση δύετ' ἀρνευτῆρι
μειρομένη γονάτων. ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἐκείνη
δωρὶς καὶ πανόπη μεγάλων ἄτερ ἰσώσασθαι.
ἡ μὲν ἄρ' εἰς ἑτέρην φέρεται· τὰ δὲ νειόθι μᾶλλον
οὐρανὸς ἄλλα φέρει, στεφάνοιό τε δεύτερα κύκλα,
ὕδρης τ' ἐσχατιήν, φορέει τ' αὐτοῦ κενταύροιο
σῶμά τε καὶ κεφαλήν, καὶ θηρίον, ὅ ῥ' ἐνὶ χειρὶ
δεξιτερῇ κένταυρος ἔχει. τοὶ δ' αὖθι μένουσι
τόξον ἐπερχόμενον πρότεροι πόδες ἱππότα φηρός.
τόξῳ καὶ σπείρῃ ὄφιος καὶ σῶμ' ὀφιούχου
ἀντέλλει χηλῇσι. κάρηατα δ' αὐτὸς ἀγινεῖ
σκορπίος ἀντέλλων. ἀνάγει δ' αὐτὰς ὀφιούχου
χεῖρας. καὶ προτέρην ὄφεος πολυτειρέος αὐγήν.
τοῦ γε μὲν ἐν γόνασιν, περὶ γὰρ τετραμμένος αἰεὶ
ἀντέλλει, τότε μὲν περάτης ἐξέρχεται ἄλλα,
γυῖά τε καὶ ζώνη καὶ στήθεα πάντα καὶ ὦμοι
δεξιτερῇ σὺν χειρί. κάρη δ' ἑτέρης μετὰ χειρὸς
τόξῳ ἀνέρχονται καὶ τοξότῃ ἀντέλλοντι.
σὺν τοῖς ἑρμαίη τε λύρη, καὶ στήθεος ἄχρις
κηφεὺς ἠώου παρελαύνεται ὠκεανοῖο.
ἦμος καὶ μεγάλοιο κυνὸς πᾶσαι ἀμαρυγαί.
δύουσι καὶ πάντα κατέρχεται ὠρίων.
πάντα γε μὴν ἀτέλεστα διωκομένοιο λαγωοῦ.
ἀλλ' οὐχ ἡνιόχῳ ἔριφοι, οὐδ' ὠλενίη αἴξ
εὐθὺς ἀπέρχονται. τὰ δέ οἱ μεγάλην ἀνὰ χεῖρα
λάμποντ', καί οἱ μελέων διακέκριτ' ἄλλων.

κινῆσαι

Nam retinent Arctoi lustrantes lumine suras.
Labitur illa simul gnatam lachrymosa requirens
Caßiepia, neq; ex cœlo depulsa, decore
Fertur: nam uerso contingens uertice primùm
Terras, post humeros euersa sæpe refertur.
Hanc illi tribuunt pœnam Nereides almæ,
Cum quibus, ut perhibent, ausa est contendere forma.
Hæc obit inclinata. at pars exorta Coronæ est
Altera, cum caudáq; omnis iam panditur Hydra.
At caput & totum sese Centaurus opacis
Eripit è tenebris, linquens uestigia parua.
Ipse feram dextra retinet, prolabitur inde

Anguitenens capite et manibus. profert simul Anguis
Iam caput, & summũ flexo de corpore lumen.

Hic ille exoritur conuerso corpore Nisus,
Aluum, crura, humeros, simul et præcordia lustrans:
Et dextra radios læto cum lumine iactans.
Inde Sagittipotens superas conuisere luces
Instituit, & mergit Nisi caput. & simul effert
Sese clara Fides, & promit corpore Cepheus.
Feruidus ille Canis toto cum corpore cedit.
Abditur Orion. obijt Lepus, abditus umbra.

Inferiora

*Inferiora cadunt Aurigæ.*

*Inde obiens Capricornus ab alto lumine pellit*
*Aurigã, instantemq; Caprã, paruos simul Hœdos.*
*Et magnam antiquo depellit nomine Nauem,*
*Crus dextrumq; pedem linquens obit infera Perseus*
*In loca. tum cedens à puppi linquitur Argo.*

*Obruitur Procyon, emergunt Alites unà.*
*Et uolucris terris existit clara Sagitta:*
Auienus. *perq; notum rutila cum numinis Hydra*
*Delphinum paruas prómit Capricornus in auras.*
*Et matutino cousurgit Aquarius orbe.*
*Os Equus atq; pedes nouus exerit. ecce cadentis*
*Parte poli trahit occiduum nox atra sub æquor*
*Centaurum cauda, sed non caput aut humerorum*
*Vasta simul recipit, persistit pectore celso*
*Cornipedis species, & cœlum uertice fulcit.*
*Ora dehinc Serpens & prima uolumina tantum*
*Conditur, ingentis late tamen agmina caudæ*
*Ponè trahit. subit ista solum, subit æquora rursum,*
*Integer Oceani cum se Centaurus in undas*

*Iecerit,*

κινῆσαι χειμῶνας, ὅτ' ἠελίῳ συνίωσιν.
ἀλλὰ τὰ μὲν κεφαλήν τε καὶ ἄλλην χεῖρα καὶ ἰξὺν
αἰγόκερως ἀνιὼν κατάγει, τὰ δὲ νείατα πάντα
αὐτῷ τοξευτῆρι κατέρχεται. οὐδέ κε περσεὺς,
οὐδ' ἔτι ἄκρα κόρυμβα μένει πολυτειρέος ἀργοῦς.
ἀλλ' ἤτοι περσεὺς μὲν, ἄτερ γουνός τε ποδός τε
δεξιτεροῦ, δύεται. πρύμνης δ' ὅσον εἰς ποδιαγήν.
αὐτὴ δ' αἰγοκερῆϊ κατέρχεται ἀντέλλοντι.
ἦμος καὶ προκύων δύεται. τὰ δ' ἀνέρχεται ἄλλα,
ὄρνις τ', αἰητός τε, τά τε πτερόεντος ὀϊστοῦ
τείρεα, καὶ νοτίου θυτηρίου ἱερὸς ἕδρη.

ἵππος δ' ὑδροχόοιο νέον περιτελλομένοιο
ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται. αὐτία δ' ἵππου
ἐξ οὐρῆς κένταυρον ἐφέλκεται ἀστερίη νύξ.
ἀλλ' οὐ οἱ δύναται κεφαλὴν, οὐδ' εὐρέας ὤμους
αὐτῷ σὺν θώρηκι χαδεῖν. ἀλλ' αἴθοπος ὕδρης
αὐχένιον κατάγει σπεῖρην, καὶ πάντα μέτωπα.
ἡ δὲ καὶ ἐξόπιθεν πολλὴ μένει. ἀλλ' ἄρα καὶ τὴν
αὐτῷ κενταύρῳ, ὁπότ' ἰχθύες ἀντέλλωσιν,
ἀθρόον ἐμφέρεται. ὃ δ' ἐπ' ἰχθύσιν ἔρχεται ἰχθὺς
αὐτῷ κυανέῳ ὑποκείμενος αἰγοκερῆϊ,
οὔτι γ' ἄδην, ὀλίγον δὲ δυωδεκάδα μένει ἄλλην.

οὕτω καὶ μογεραὶ χεῖρες καὶ γοῦνα καὶ ὦμοι
ἀνδρομέδης δίχα πάντα, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσ
τέινεται ὠκεανοῖο, νέον ὁπότε προγένωνται (σω
ἰχθύες ἀμφότεροι. τὰ μὲν οἱ κατὰ δεξιὰ χειρὸς
αὐτοὶ ἐφέλκονται. τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει

κριὸς ἀνερχόμενος. τοῦ καὶ περιτελλομένοιο
ἑσπερόθεν ἴδοιο θυτήριον. αὐτὰρ ἐν ἄλλῃ
περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους.
αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλοιτο,
ἢ κριῷ λήγοντι φαείνεται, ἢ ἐπὶ ταύρῳ.
σὺν τῷ πανσυδίῃ ἀνελίσσεται. οὐδ' ὅγε ταύρου
λέιπεται ἀντέλλοντος, ἐπεὶ μάλα οἱ συνάρηρως

ἡνίοχος φέρεται. μοίρῃ γε μὲν οὐκ ἐπὶ ταύτῃ
ἀθρόος ἀντέλλει. δίδυμοι δέ μιν οὖλον ἄγουσιν.
ἀλλ' ἔριφοι λαιοῦ τε θέναρ ποδὸς αἰγὶ σὺν αὐτῇ
ταύρῳ συμφορέονται, ὅτε λοφιή τε καὶ οὐρὴ
κήτεος αἰθερίοιο περαιόθεν ἀντέλλωσι.
δύνει δ' ἀρκτοφύλαξ ἤδη πρώτη τότε μοίρῃ,
τάων, αἳ πίσυρες μὲν ἄτερ χειρὸς κατάγουσι
λαιῆς. ἡ δὲ αὐτοῦ μεγάλη ὑποτέλλεται ἄρκτος.
ἀμφότεροί τε πόδες καταδυομένου ὀφιούχου

μέσφ

Iecerit, atque nouo uibrauit ſidere Piſcem:
His ſumma cœli ſurgentibus, ille per Auſtrum
Piſcis item planta quam pulcher Aquarius urget
Redditur. haud toto tamen hic ſe corpore promit,
Sed manet alterius uenientis tempora ſigni.
ſic brachia mœſtæ
Andromedæ, ſic crura dehinc, humeriq; nitentes
Paulatim recauo redeunt maris aurea cœlo.
Poſtquam adolent Piſces, incendia denique Piſces
Cum rutilant mundo, dextram hæc attollet in ulnam,
Leuáq; Virginei rurſum ſe corporis edunt.
Phryx poſtquam pecoris proruperit ortus,
Auſtralem hic Aries Aram procul admouet undis,
Gurgitis occidui qua lux redit, excitat idem
Perſea proceri ſuſtollere uerticis aſtra.
Et claros fulgere humeros: at cætera nondum
Sunt exempta ſolo, quin totum hoc inuida ueri
Natura ambigua rerum ratione reliquit,
Extimus an reliquos Aries produceret artus
Perſeos, an Tauro freti pelleret aſſurgente.
Hoc unà cœlum ſubit integer. haud
Viſcera naſcentis noua Tauri deſerit aſtra.
Quippe huius flammis Aurigæ ſidus inhæret,
Nec tamen hunc totum ſuſtollit Taurus in æthram.
Aurigam ſalſis euoluunt fluctibus amnem
Surgentes Gemini, Taurum Capra plantáq; læua

*Atq; Hœdi exuperant, cum primum rurſus ab undis*
*Cetoſa in ſuperum referuntur uiſcera cœlum.*
*Eminus ingentem condit pars prima Bootem.*
*Quattuor hic etenim ſignis ſurgentibus altum*
*Vix penetrat pelagus. neque ſumma totus ab æthra*
*Labitur Arcturus, manus olli quippe ſiniſtra*
*Iuge manet, celſiſq; ſubducitur Vrſis.*
*At cum iam pedibus repetit fluxus Ophiuchus*
*Vt genua Oceanus uaſto procul æquore condat,*
*Signum erit Eoa Geminos procedere parte,*
*Nec lateri Piſtrix cuiquam uicina uidetur:*
*Sed cum tota ſuper ſuſtollitur, expuit atram*
*Iam pelagus ſpeciẽ, nec adhuc tamen extima ſorbent.*
*Quin nec naſcentis ſuſpectat nauita ponto,*
*Agmina prima Padi cœlo tum feruere aperto,*
*Vicinaſq; feces rutili manet Orionis.*
*Curricula ut ſolers uero mox indice diſcat*
*Certa tenebrarum, poſsitq; fideliter aſtro*
*Explorare notos, & tuto carbaſa ponto:*
*monet alta Iuppiter æthra*
*Singula nos facilis ueram dedit arbiter artem.*
*Nonne uides, primùm cum Phœbe in cornua ſurgit*
*Tenuia, & anguſto lumen iacit ore per æthram*
*Decedente die, pronoq; ab tramite Solis,*
*Promat ut ingreſsi ſolers tibi tempora menſis?*
*ſunt tales quattuor ortus*

*Marcen/*

μέσφ' αὐτῶν γονάτων διδύμοις ἔπι σῆμα τετύχθω
δὴ ἑτέρης ἀνιοῦσι. τότ' οὐκέτι κήτεος οὐδὲν
ἕλκεται ἀμφοτέρωθεν, ὅλον δέ μιν ὄψεαι ἤδη.

ἤδη τοι ποταμοῦ πρώτης ἁλὸς ἐξανιοῦσαν
καμπὴν ἐν καθαρῷ πελάγει σκέψαιτό κε ναύτης,
αὐτὸν ἐπ' ὠρίωνα μένων, εἴ οἱ πόθι σῆμα
ἢ νυκτὸς μέτρον γ' ἠὲ πλόου ἀγγείλειε.
πάντη γάρ τά γε πολλὰ θεοὶ ἄνδρεσσι λέγουσι.
οὐχ ὁράᾳς, ὀλίγη μὲν ὅταν κεράεσσι σελήνη
ἑσπερόθεν φαίνηται, ἀεξομένοιο διδάσκει
μηνός, ὅτε πρώτη ἀποκίδναται αὐτόθεν αὐγή,
ὅσον ἐπισκιάειν, ἔπι τέτρατον ἦμαρ ἰοῦσα,

ὀκτὼ δ' ἐν διχάσι, διχόμηνα δὲ παντὶ προσώπῳ,
αἰεὶ δ' ἄλλοθεν ἄλλα παρακλίνουσα μέτωπα
εἴρει ὁποσαίη μηνὸς περιτέλλεται ἠώς.
ἄκρα γε μὴν νυκτῶν κεῖναι δυοκαίδεκα μοῖραι
ἄρκιαι ἐξειπεῖν, τὰ δέ που μέγαν εἰς ἐνιαυτόν.
ὥρη μέν τ' ἀρόσαι νειοὺς, ὥρη δὲ φυτεῦσαι.
ἐκ διὸς ἤδη πάντα πεφασμένα πάντοθι κεῖται,

καὶ μέν τις καὶ νηὶ πολυκλύστου χειμῶνος
ἐφράσατ', ἢ δεινοῦ μεμνημένος ἀρκτούροιο,
ἢ ἐτέων ἄλλων, οἵτ' ὠκεανοῦ ἀρύονται
ἀστέρες ἀμφιλύκης, οἵτε πρώτης ἔτι νυκτός.
ἤτοι γὰρ τοὺς πάντας ἀμείβεται εἰς ἐνιαυτὸν
ἠέλιος, μέγαν ὄγμον ἐλαύνων. ἄλλοτε δ' ἄλλῳ
ἐμπελάσει, τοτὲ μέν τ' ἀνιών, τοτὲ δ' αὐτίκα δύων
ἄλλος δ' ἀλλοίην ἀστὴρ ἐπιδέρχεται ἠῶ.
γινώσκεις τάδε καὶ σύ. τὰ γὰρ συναείδεται ἤδη
ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο,
ὅσσα τ' ἀπὸ ζώνης εἰς ἔσχατον ὠρίωνα
νὺξ ἐπιδινεῖται, κύνατε θρασὺν ὠρίωνος.
οἵ τε ποσιδάωνος ὁρώμενοι, ἢ διὸς αὐτοῦ
ἀστέρες ἀνθρώποισι τετυγμένα σημαίνουσι.
τῶν κείνων πεπόνησο. μέλει δέ τοι, εἴποτε νηὶ
πιστεύεις, εὑρεῖν ὅσα που κεχυμένα κεῖται
σήματα χειμερίοις ἀνέμοις ἢ λαίλαπι πόντου.
μόχθος μέν τ' ὀλίγος, τὸ δὲ μυρίον αὐτίκ' ὄνειαρ
γίνετ' ἐπιφροσύνης αἰεὶ πεφυλαγμένῳ ἀνδρί.
αὐτὸς μὲν τὰ πρῶτα σαώτερος, εὖ δὲ καὶ ἄλλον
παρειπὼν ὤνησεν, ὅτ' ἐγγύθεν ὤρορε χειμών.
πολλάκι γὰρ καί τίς τε γαληναίῃ ὑπὸ νυκτὶ
νῆα περιστέλλει πεφοβημένος ἦρι θαλάσσης.
ἄλλοτε μὲν τρίτον ἦμαρ ἐπιτρέχει, ἄλλοτε πέμπτον.
ἄλλοτε ἀπρόφατον κακὸν ἵκετο. πάντα γὰρ οὔπω
ἐκ διὸς ἄνθρωποι γινώσκομεν, ἀλλ' ἔτι πολλὰ
κέκρυπται,

Marcentis Lunæ. quales sub mense renato
Quattuor exurgunt languentis luminis umbræ,
Atq; bis octonas includunt ordine luces.
At decedentis postrema crepuscula noctis,
Bis sex signa tibi quæ uersat signifer orbis
Monstrabunt. nam Phœbus singula mutat
Semper, & alterno succedit in omnia lapsu,
uel cum deuexus in undas
Labitur, & rebus formam absumpsere tenebræ.
Vel matutino redit in cunabula *
Cum pelago, & rebus suffudit luce colores.
Sic diuersa diem comitantur sidera semper.
Sed prim * exordia sumpsit ab anno,
Torreret rutilo cum Phœbus sidere Cancrum,
Cingula cum ueheret pelagus procul Orionis,
Et cum cæruleo flagraret Sirius astro.
Hoc ut fontem, unde & duxit tempora Lunæ
Nauita quo longum facili rate curreret æquor,
Et quo ruris amans telluri sacra parenti,
Crederet, ingentiq; petat indagine semper,
Seu qui uela salo, seu qui dat semina terræ,
Hæc mora discendi breuis, huc labor, et breue tẽpus
Poscitur, innumeros habet autem industria fructus.
Vtilitas te certa manet, prænoscere motus
Si libet aërios, & tempestatibus ipsis
Edere principium. te primum sponte procellis

Arcebis rapidis, te rursum principe fluctus
Vitabunt alij, si certis singula signis
Tempora discernas.
Sæpe etenim quanquam tranquillæ noctis amictu
Mitia portenti requiescunt terga profundi,
Doctus securam subducit ab æquore classem
Nauita, & actea retinet statione phasellum,
Cum matutinæ præsensit signa procellæ.
Nanque aliàs cœlo tum tertia lumina Phœbus
Exerit.
Crebro quinta dehinc lux commouet amphitritem.
Sæpe inopina mali clades ruit. omnia certis

Indicijs tibi Luna dabit, seu lucis utrinque
Cæsa facem, seu cum teretem concrescit in orbem.
Sol quoque uenturas aperit tibi sæpe procellas
Sidera producens, & cum * sidera condit,
Nec minus ex alijs aderit cognoscere motus
Aequoris, & magnos cœli callere tumultus,
Cynthia cùm primùm cœlo noua cornua promit,
Cautus utrinque deam circunspice. nanq; reuersæ
Nequaquam semper similis lux imbuit ortum.
Sed species diuersa trahit, uarioq; notatur
Formarum primi cùm surgit luminis igne.
Tertia cùm rutilat, tum maior sideris æthram
Scandit,

κέκρυπται, τ' ἄν κε θέλῃ καὶ ἐς αὐτίκα δώσει
Ζεύς· ὁ γὰρ οὖν γενεὴν ἀνδρῶν ἀναφανδὸν ὀφέλλει,
πάντοθεν εἰδόμενος, πάντῃ δ' ὅγε σήματα φαίνων.

ἄλλα δέ που ὀρέει ἤπου διχόωσα σελήνη
πλήθουσ' ἀμφοτέρωθεν, ἢ αὐτίκα πεπληθυῖα.
ἄλλα δ' ἀνερχόμενος, τότε δ' ἄκρῃ νυκτὶ κελεύων
ἠέλιος. τὰ δέ τοι καὶ ἀπ' ἄλλων ἔσσεται ἄλλα
σήματα καὶ περὶ νυκτὶ καὶ ἤματι ποιήσασθαι.

σκέπτεο δ' ἐν πρῶτον κεράων ἑκάτερθε σελήνην.

ἄλλοτε γάρ τ' ἄλλη μιν ἐπιγράφει ἕσπερος αἴγλη.
ἄλλοτε δ' ἀλλοῖαι μορφαὶ κερόωσι σελήνην,

εὐθὺς ἀεξομένην, αἱ μὲν τρίτῃ, αἱ δὲ τετάρτῃ,
τάων καὶ περὶ μηνὸς ἐφεσταότος κε πύθοιο.

λεπτὴ μὲν καθαρή τε περὶ τρίτον ἦμαρ ἐοῦσα,
εὔδιός κ' εἴη. λεπτὴ δὲ καὶ εὖ μάλ' ἐρευθὴς,

πνευματίη. παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις

τέτρατον ἐκ τριτάτοιο φόως ἀμενηνὸν ἔχουσα,

ἢ νότῳ ἀμβλύνεται, ἢ ὕδατος ἐγγὺς ἐόντος.

εἰ δέ κ' ἐπ' ἀμφοτέρων κεράων, τρίτον ἦμαρ ἄγουσα,
μήτε τι νευστάζοι μήθ' ὑπτιόωσα φαείνοι,
ἀλλ' ὀρθαὶ ἑκάτερθε περιγνάμπτωσι κεραῖαι,

ἑσπέριοί κ' ἄνεμοι κείνην μετὰ νύκτα φέροιντο.
εἰ δ' αὔτως ὀρθὴ καὶ τέτρατον ἦμαρ ἀγινοῖ,
ἦτ' ἂν χειμῶνος συναγειρομένοιο διδάσκει.

εἰ δέ κεν οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύοι,
δειδέχθαι βορέω, ὅτε δ' ὑπτιάῃσι, νότοιο.
αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος περὶ κύκλος ἑλίσσοι
πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη.

μείζονι δ' ἂν χειμῶνι πυρώτερα φοινίσσοιτο.

σκέπτεο δ' ἐς πληθὺν τε, καὶ ἀμφότερον διχόωσαν,
ἢ μὲν ἀεξομένην, ἠδ' ἐς κέρας αὖθις ἰοῦσαν.
καί οἱ ἐπὶ χροιῇ τεκμαίρεο μηνὸς ἑκάστου.
πάντῃ γὰρ καθαρῇ, καὶ μάλ' εὔδια τεκμήραιο.

πάντα

Scandit, & aëreas quarta face luminat oras:
Ingredientis erit plenè tibi nuncia mensis.
Hæc castigato si tertia fulserit ortu
Pura, sic ut fœdis ab syrtibus absore dicat,
Clara serena diu. Vir. Geor/gic. 1.
At si uirgineum suffuderit ore ruborem,
Ventus erit. uento semper rubet aurea Phœbe.
Luminis ista dehinc si craßior, atq; retusis Auienus
Cornibus ingreditur, si quarti sideris ortum
Percurso, ut tenuem protendat corporis umbram,
Imbribus aut Zephyris hebetabitur: arguet ultro
Flabra Noti aut pluuias
Tertia si rursum protollat Cynthia currus,
Sic subiecta faces & acumina lenta coruscans,
Vt nec curua quasi declinet cornua, nec se
Fusa supinato diducat lumen in auras:
Occiduo Zephyrum prædicet surgere mundo,
Aut Libyæ de parte Notum. sin quatuor autem
Cynthia curriculis cœlum subit, atq; coruscis
Cornibus immodice præstantibus usserit ignes:
Vix prolixa salum ciet ocyus omnia cauri.
Istius in Boream quod se sustollit acumen,
Si curuum specie uelut armat: assore cœlo
Sæua procellosi prædicet flabra Aquilonis
Inferiore plaga, si Lunam tertius ortus
Proferat, atq; Deæ conuoluat circulus oras

Suffusus rutilo: mox tempestate sonora
Spumosum late pelagus canescere cernes.
Maior & hac rauci uersabit gurgitis undas,
Ipsa quoq; immodice si uultum Luna rubescat.
Contemplator item seu plenum luminis orbem
Cynthia distendit, seu cùm tertius ambitus olli
Cæditur, & mediæ uelut indiga lucis utrinque
Sustinet obductæ sibimet dispendia formæ,
Cornua prima replens, & cornua fessa dehiscens.
Induit & qualem procedens ore colorem,
Hinc perpende oculis, ipso monitore dierum
Signa tene, ac totum discerne in tempora mensem.
Non unum deprensa diem tibi signa loquuntur,
Nec uulgo in cunctis adsunt præcepta diebus,
Sed quæ signa nouo dederit mox tertia in ortu
Quartá ue, sustollit medios dum Cynthia uultus,
Durabunt cœlo medio quæ edixerit ore.
Ille aliâs trino conuoluit tramite Lunam,
Et geminus plerunq; meat Sol, & unicus idem.
Cingere si simplex circunuersabitur orbem
Signa procellarum certißima, signa sereni
Præferet. abruptos subito prænunciat Euros
Marcescens tenui sensim caligine, & æthra
Digestus patula, docet undis adfore pacem.
Si duo se Lunæ, circunfudere repente,
Maxima uis pontum, uis uertet maxima terras.

Maioresq;

πάντα δ' ἐρευθομένη, δοκέειν ἀνέμοιο κελεύθους.
ἄλλοθι δ' ἄλλο μελαινομένη, δοκέειν ὑετοῖο.

σήματα δ' οὐκ ἄρα πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται.
ἀλλ' ὅσα μὲν τριτάτῃ τεταρταίῃ τε πέλονται,
μέσφα διχαιομένης, διχάδος γε μὲν, ἄχρις ἐπ' αὐτῆς
σημαίνει διχόμηνον, ἀτὰρ πάλιν ἐκ διχομήνης
ἐς διχάδα φθιμένην. ἔχεται δέ οἱ αὐτίκα τετρὰς
μηνὸς ἀποιχομένου, τῇ δὲ τριτάτῃ ἀπιόντος.

εἰ δέ κέ μιν περὶ πᾶσαν ἁλωαὶ κυκλώσωνται
ἢ τρεῖς, ἠὲ δύω περικείμεναι, ἠὲ μί' οἴη,
τῇ μὲν ἰῇ, ἀνέμοιο γαληναίης τε δοκεύειν,
ῥηγνυμένῃ, ἀνέμοιο, μαραινομένῃ δὲ, γαλήνης.

ταὶ δύο δ' ἂν χειμῶνι περιτροχάοιτο σελήνη.
μείζονα δ' ἂν χειμῶνα φέροι τριέλικτος ἁλωὴ,
καὶ μᾶλλον μελανεῦσα, καὶ εἰ ῥηγνύατο μᾶλλον.
καὶ τὰ μὲν οὖν ἐπὶ μηνὶ σεληναίης τε πύθοιο.
ἠελίοιο δέ τοι μελέτω ἑκάτερθεν ἰόντος.

ἠελίῳ καὶ μᾶλλον ἐοικότα σήματα κεῖται
ἀμφοτέροιν, δυόντι, καὶ ἐκ περάτης ἀνιόντι.
μή οἱ ποικίλλοιτο νέον βάλλοντος ἀρούραις
κύκλος, ὅτ' εὐδίου κεχρημένος ἤματος εἴης,
μὴ δέ τι σῆμα φέροι, φαίνοιτο δὲ λιτὸς ἁπάντη.

εἰ δ' αὔτως καθαρόν μιν ἔχοι βουλύσιος ὥρη,
δύνοι δ' ἀνέφελος· μαλακὴν ὑποδείελος αἴγλην,
καὶ μὲν ἐπερχομένης ἠοῦς ἔθ' ὑπεύδιος εἴη.
ἀλλ' οὐχ' ὁππότε κοῖλος ἐειδόμενος περιτέλλοι,
οὐδ' ὁπότ' ἀκτίνων αἱ μὲν νότον, αἱ δὲ βορῆα
σχιζόμεναι βάλλωσι, τὰ δ' αὖ περὶ μέσσα φανείη·
ἀλλά που ἢ ὑετοῖο διέρχεται ἢ ἀνέμοιο.
σκέπτεο δ' εἴ κέ τοι αὐγαὶ ὑπεῖξιν αὖ ἠελίοιο,

αὐτὸν ἐς ἠέλιον. τοῦ γὰρ σκοπιαὶ καὶ ἄρισται.
εἴ τι που ἢ καὶ ἔρευθος ὑποτρέχει, οἷά τε πολλὰ
ἑλκομένων νεφέων ἐρυθαίνεται ἄλλοθεν ἄλλα,
ἢ εἴ που μελανεῖ, καί τοι τὰ μὲν ὕδατος ἔστω
σήματα μέλλοντος, τὰ δ' ἐρευθέα πάντ', ἀνέμοιο.
εἴγε μὲν ἀμφοτέροις ἄμυδις κεχρωσμένος εἴη,
καί κεν ὕδωρ φορέοι, καὶ ὑπηνέμιος τανύοιτο.
εἰ δέ οἱ ἀντέλλοντος, ἢ αὐτίκα δυομένοιο
ἀκτῖνες συνίωσι, καὶ ἀμφ' ἑνὶ πεπλήθωσι.
ἤ ποτε καὶ νεφέων πεπιεσμένος, ἢ ὅτ' ἐς ἠῶ

ἔρχηται

Maioresq́; dehinc agitabunt stagna procellæ,
Si trinus rutilum constrinxerit ambitus orbem.
Et magis immodica formidine sæuiet Auster,
Zonarum teter fuerit si tractus in æthra.
Deniq; disrumpant si sese cingula Lunæ,
Vltima tempestas ruet imi gurgitis æstum.
Sol quoq; & exoriens, & cum se condit in undas, Vir. Geor/
Signa dabit. Solem certißima signa sequentur, gic. 1
Et quæ mane refert, & quæ surgentibus astris.

Auienus.

Non hic cum primo seducet gurgite uultum,
Ceu picturato diuersos ore colores
Proferet. haud etenim tali tibi sole reuecto
Mitia iam cœli fas expectare serena.
Et si tranquillo conuexa cucurrerit austro,
Indideritq́; facem ponto Deus integer, atra
Nube carens, purusq́; coma & splendidus orbe:
Conuenit Eoæ facem præsumere lucis.
Sed non ora cauo similis medioq́; recedens
Orbe, quasi uel si radios discingitur ultro
Figat, ad Australem porrecto sidere partem,
Aut Borea rigidi iaculetur luminis igne:
Et uento & pluuijs reparata in luce carebit.
Deniq; per flammas procul atq; incendia solers
Ipsa die cedunt blandi si lumina Solis,
Tende oculos, certa hoc ducentur signa sinistro.

Et ne

Et ne ſanguineus late rubor imbuat ora,
Qualia protractu uaga nubila ſæpe rubeſcunt:
Aut ne labenti piceus color abdat amictu
Lampada, quære diu ſi tetro craßior orbe eſt,
Vueſcet pluuijs tellus:
Vis ſimul amborum ſi uultum Solis oberret,
Cuncta Noti quatient, imbres procul arua rigabūt.
Ecce aliâs primo naſcentis Solis in ortu,
Vel cùm præcipites pelago Deus inſerit ignes,
Si coëunt radij.

Ver. 1 Georgic.

Omnibus his ſignis in terram defluit imber.
Aut ubi ſub lucem denſa inter nubila ſeſe
Diuerſi rumpent radij:
nimbis ingentibus arua madebunt.
At matutini ſi Phœbum in littoris *
Maiorem ſolito produxerit, atq; per æthram
Marcenti ſimilis defluxerit extimus orbis,
Alta dehinc ſcandens minuat iubar igniferum Sol:
Pura ſerena aderunt.
hic quoq; magnis
Cùm madefacta die ſub tempeſtatibus horret,
Pallidus ora cadens, promittet pura ſerena.
Quin naſcente die uenturos conuenit imbres
Noſcere, cùm proni procul ad confinia cœli
De * piceo ſpectans nubila tractu:
Et cum declinant radij, ſed partem in utranq;
Lucis

ἔρχηται περὶ νυκτός, ὁ δ' ἐξ ἠοῦς ἐπὶ νύκτα,
ὕδατί κεν κατιόντι παρατρέχοι ἤματα κεῖνα.
μηδ' ὅτε οἱ ὀλίγη νεφέλη πάρος ἀντέλλῃσι,
τὴν δὲ μετ' ἀκτίνων κεχρωσμένος αὐτὸς ἀερθῇ,
ἀμνηστεῖν ὑετοῖο. πολὺς δ' ὅτε οἱ περὶ κύκλος
οἷον τηκομένῳ ἐναλίγκιος εὐρύνηται
πρῶτον ἀνερχομένοιο, καὶ ἂψ ἐπὶ μεῖον ἴῃσι,
εὔδιός κε φέροιτο, καὶ εἴ ποτε χείματος ὥρῃ

ὠχρήσῃ κατιών. ἀτὰρ ὕδατος ἠμερινοῖο

γινομένου κατόπισθε περὶ νέφεα σκοπέεσθαι,
καὶ δὴ δυομένου τετραμμένος ἠελίοιο,
ἢν μὲν ὑποσκιάῃσι μελαινομένη εἰκυῖα
ἠέλιον νεφέλη, ταὶ δ' ἀμφί μιν ἔνθα καὶ ἔνθα
ἀκτῖνες μεσσηγὺς ἑλισσόμεναι διχόωνται,
ἦ τ' ἂν ἔτ' εἰς ἠῶ σκέπαος κεχρημένος εἴης.
εἰ δ' ὁ μὲν ἀνέφελος βάπτοι ῥόου ἑσπερίοιο,
ταὶ δὲ κατερχομένου νεφέλαι καὶ οἰχομένοιο
πλησίον ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρὴ
αὔριον, οὐδ' ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο.
ἀλλ' ὁπότ' ἠελίοιο μαραινομένῃσιν ὁμοῖαι
ἐξαπίνης ἀκτῖνες ἀπ' οὐρανόθεν τανύονται,
οἷον ἀμαλδύνονται ὅτε σκιάῃσι κατ' ἰθὺ
ἱσταμένη γαίης τε καὶ ἠελίοιο σελήνη,

οὐδ'

οὐδ᾽ ὅτε οἱ ἐπέχοντι φαινόμεναι ἠῶθι πρὸ
φαίνονται νεφέλαι ὑπερευθέες ἄλλοθεν ἄλλη,
ἄῤῥαντοι γίνονται ἐπ᾽ ἤματι κείνῳ ἄρουραι.
μὴ δ᾽ αὔτως ἔτ᾽ ἐόντι πέρην. ὁπότε προταθεῖσαι
ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι πρὸ,
ὕδατος ἢ ἀνέμοιο κατισσομένου λελαθέσθαι.

ἀλλ᾽ εἰ μὲν κεῖναι μᾶλλον κνέφας φορέοιεν
ἀκτῖνες, μᾶλλόν κεν ἐφ᾽ ὕδατι σημαίνοιεν.
εἰ δ᾽ ὀλίγος τανύοιτο περὶ δνόφος ἀκτίνεσσιν,
οἷόν που μαλακαὶ νεφέλαι φορέουσι μάλιστα,
ἦτ᾽ ἂν ἐπερχομένοιο περιδνοφέοιντ᾽ ἀνέμοιο.
οὐδὲ μὲν ἠελίου σχεδόθεν μελανεῦσαι ἅλωαί,
εὔδιοι, ἀσσότεραι δὲ καὶ ἀσεμφὲς μελανεῦσαι,
μᾶλλον χειμέριαι. δύο δ᾽ ἂν χαλεπώτεραι εἶσι.
σκέπτεο δ᾽ ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο,
εἴπου οἱ νεφέων, τὰ παρήλια κικλήσκονται,
ἢ νότου ἠὲ βορῆος ἐρεύθεται, ἢ ἑκάτερθεν.
μὴ δ᾽ οὕτω σκοπιὴν ταύτην ἀμενηνὰ φυλάσσειν.
οὐ γὰρ ὅτ᾽ ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχωσιν
ἠέλιον κεῖναι νεφέλαι, σχεδὸν ὠκεανοῖο,
γίγνεται ἀμβολίη διόθεν χειμῶνος ἰόντος.
εἴγε μὲν ἐκ βορέαο μί᾽ οἴη φοινίσσοιτο,
ἐκ βορέω πνοιάς κε φέροι, νοτίη δὲ νότοιο.
ἢ καί που ῥαθάμιγγες ἐπιτροχόωσ᾽ ὑετοῖο,
ἑσπερίοις καὶ μᾶλλον ἀληθέα τεκμήραιο.

Lucis in occaſu, nox ut ſerat algida rores,
Imber erit. puras ſi Phœbus condit habenas,
Et Calpetano tranquillum gurgite lumen
Tingat, at in lapſu nubes ignita ſequatur:
nunquam te craſtina fallet — Verg. 1. Georg.
Hora, nec inſidijs noctis capiere ſerenæ.
ſed cum radijs marcentibus ardor — Auienus.
Languet, uel tenui tenduntur acumine fruſtra
Phœbei crines: nimbos aget atra procella,
Talis & obducti cernetur forma diei,
Qualem fraternos ſubtexens luna iugales
Lucem habitat.
aut ubi curſum
Cum matutinos molitur Lucifer ortus,
Ebria ſanguineas ſubuoluunt uellera nubes.
Nanque grauis cœlo fundetur protinus imber:
Nec ſi Sole procul rutila inter ſtagna morante
Emineant radij, radios quoque craßior umbra
Contegat: ille dies pluuijs uentoq́; carebit.
Quin erit imber item, ſi Solem circulus ater
Ambiat exortum. maior ſi denique nimbus
Vrgebit cœlo, maior ſola perluet imber,
Circunfuſa adeò ſi cingula neſcia ſolui
Seruarent tetram ſpeciem torpentia noctis.
Sæpe etiam Phœbo nubes percuſſa rubeſcit,
Et meditata Dei formam procul igne recepto,
Concipit effigiem ſimulato luminis orbe.

Id qua parte poli ſpectaueris, adſore ab ipſa
Parte tene uentos. tamen, hæc tamen omnia ſemper
Decedente die melius uentura docebunt.

Conuenit hic etiam paruum Præſepe notare,
Id nubi nomen, quæ Cancro obuoluitur alto,
Græcia docta dedit. quapropter denique Aſellos
Suſpice, quorum unus ſeptem uicina trioni
Aſtra adolet, tepidũ procul alter ſpectat in Auſtrũ,
In medio quod nube quaſi concreſcit adacta,
Id Præſepe uocant. Porrò hoc Præſepe repente

Si ſeſe ex oculis procul auferat, ardeat autem
Congruus aërijs late rubor ignis Aſellis:
Nequaquam tenues agitabunt ſtagna procellæ.
At ſi ſideribus ſimilis lux duret, & illi
Tetra ſit effigies: ruet altis nubibus imber.
Sin Boreæ de parte trucis uelut indiga iuſtæ
Stella facis, lento marceſcere cernitur igne,
Et procul alterius iuba late flagrat Aſelli:
Protinus Aethiopum ſurget conuallibus Auſter.
At regione Noti ſi lucem ſtella ſeneſcat,
Sæuus Rhiphæis Aquilo crepitabit ab oris.
Cice. Atque etiam uentos præmonſtrat ſæpe futuros
Inflatum mare, cum ſubito penituſq; tumeſcit
Saxaq; cana ſalis niueo ſpumata liquore
Triſtificas certant Neptuno reddere uoces:

Aut

ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.
σκέπτεο καὶ φάτνην, ἡ μέν τ' ὀλίγῃ ἐοικυῖα
ἀχλύϊ, Βορραίη ὑπὸ καρκίνῳ ἡγηλάζει.
ἀμφὶ δέ μιν δύο λεπτὰ φαεινόμενοι φορέονται
ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι, οὔτε μάλ' ἐγγύς,
ἀλλ' ὅσσον τε μάλιστα πυγούσιον οἰήσασθαι.
εἷς μὲν Βορραῖος, νότῳ δ' ἐπιέρχεται ἄλλος.
καί τοι μὲν καλέονται ὄνοι. μέσση δέ τε φάτνη,
ἥτε καὶ ἐξαπίνης πάσῃ διὸς εὐδιάοντος
γίνετ' ἄφαντος ὅλη, τοὶ δ' ἀμφοτέρωθεν ἰόντες
ἀστέρες ἀλλήλων αὐτοσχεδὸν ἰνδάλλονται.
οὐκ ὀλίγῳ χειμῶνι τότε κλύζονται ἄρουραι.
εἰ δὲ μελαίνηται, τοὶ δ' αὐτίκ' ἐοικότες ὦσιν
ἀστέρες ἀμφότεροι, περὶ χ' ὕδατι σημαίνοιεν.
εἰ δ' ὁ μὲν ἐκ Βορέω φάτνης ἀμενηνὰ φαείνῃ
λεπτὸν ἐπαχλυόων, νότιος δ' ὄνος ἀγλαὸς εἴη,
δειδέχθαι ἀνέμοιο νότου, Βορέω δὲ μάλα χρὴ
ἔμπαλιν ἀχλυόεντι, φαεινομένῳ τε δοκεύειν.
σῆμα δέ τοι ἀνέμοιο καὶ οἰδαίνουσα θάλασσα
γιγνέσθω, καὶ μακρὸν ἐπ' αἰγιαλοὶ βοόωντες,
ἀκταί τ' εἰνάλιοι, ὁπότ' εὔδιοι ἠχήεσσαι
γίγνονται, κορυφαί τε βοώμεναι οὔρεος ἄκραι.
καὶ δ' ἂν ἰθὶ ξηρὴν ὅτ' ἐρωδιὸς οὐ κατὰ κόσμον
ἐξ ἁλὸς ἔρχηται, φωνῇ περὶ πολλὰ λεληκώς,
κινυμένου κε θάλασσαν ὑπερφορέοιτ' ἀνέμοιο.

καί ποτε καὶ κέπφοι, ὁπότ' εὔδιοι ποτέωνται,
ἀντία μελλόντων ἀνέμων εἰληδὰ φέρονται.
πολλάκι δ' ἀγριάδες νῆσσαι, ἢ εἰν ἁλὶ δῖναι
αἴθυιαι χερσαῖα τινάσσονται πτερύγεσιν.
ἢ νεφέλη ὄρεος μηκύνεται ἐν κορυφῇσιν.
ἤδη καὶ πάπποι λευκῆς γήρειον ἀκάνθης,
σῆμ' ἐγένοντ' ἀνέμου, κωφῆς ἁλὸς ὁππότε πολλοὶ
ἄκροι ἐπιπλείωσι, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσω.
καὶ θέρεος βρονταί τε καὶ ἀστραπαὶ ἔνθεν ἴωσιν,
ἔνθεν ἐπερχομένοιο περισκοπέειν ἀνέμοιο.
καὶ διὰ νύκτα μέλαιναν ὅτ' ἀστέρες ἀΐσσωσι
ταρφέα, τοὶ δ' ὄπιθεν ῥυμοὶ ὑπολευκαίνωνται,
δειδέχθαι κείνοις αὐτὴν ὁδὸν ἐρχομένοιο
πνεύματος. εἰ δέ κεν ἄλλοι ἐναντίοι ἀΐσσωσιν
ἄλλοι δ' ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
παντοίων ἀνέμων, οἵτ' ἄκριτοί εἰσι μάλιστα.
ἄκριτα δὲ πνείουσιν ἐπ' ἀνδράσι τεκμήρασθαι.
αὐτὰρ ὅτ' ἐξ εὔροιο καὶ ἐκ νότου ἀστράπτῃσιν,
ἄλλοτε δ' ἐκ ζεφύροιο, καὶ ἄλλοτε πὰρ βορέαο,
δή τότε τις πελάγει ἔνι δείδιε ναυτίλος ἀνήρ.
μή μιν τῇ μὲν ἔχῃ πέλαγος, τῇ δ' ἐκ Διὸς ὕδωρ.
ὕδατι γὰρ τοσαίδε περὶ στεροπαὶ φορέονται.
πολλάκι δ' ἐρχομένων ὑετῶν νέφεα προπάροιθεν
οἷα μάλιστα πόκοισιν ἐοικότα ἰνδάλλονται,
ἢ διδύμη ἔζωσε διὰ μέγαν οὐρανὸν ἶρις, Iris.
ἢ καί πού τις ἅλωα μελαινομένην ἔχει ἀστήρ.

πολλάκι

Aut densus stridor cum celso è uertice montis
Ortus adaugescit, scopuli ui sæpe repulsus.
Iam sibi tum curuis male temperat unda carinis, Virg.
Cum medio celeres reuoluant ex æquore mergi,
Clamoremq; ferunt ad littora. cumq; marinæ
In sicco ludunt fulicæ, notasq; paludes
Deserit, atque altam supra uolat ardea nubem.
Denique cum cœlo tenduntur pura sereno,
Sæuitura polo sunt flammina * Auienus.

Sæpe etiam stellas uento impendente uidebis Virg.
Præcipites cœlo labi, noctisq; per umbras
Flammarum longos à tergo albescere tractus,
Quòd si diuersis se paßim partibus ignes Auienus.
Excutiant: uerret pelagus sine fine modoq;
Turba procellarum.

At Boreæ de parte trucis cum fulminat, & cum Virg.
Euriq; Zephyriq; tonat domus: omnia plenis
Rura natant foßis, atque omnis nauita ponto.

aut bibit ingens
Iris.
Si stellam teter uelut ambiat æquora propter Auienus.

Iam uarias Pelagi uolucres, & quæ Aſia circum
Dulcibus in ſtagnis rimantur prata Cayſtri.
Aut arguta lacus circunuolitauit Hirundo.

Et ueterem in limo Ranæ cecinere querelam.

Cice. Et matutinis Acredula uocibus inſtat,
Inſtat, & aßiduas uocum iacit ore querelas,
Cum primum gelidos rores aurora remittit.
Fuſcaq; nonnunquam curſans per littora Cornix
Demerſit caput, & fluctum ceruice recepit.

Mollipedesq; Boues ſpectantes lumina cœli,
Naribus humiferum duxere ex aëre ſuccum.
Virg. Sæpius & tectis penetralibus extulit oua
Anguſtum Formica terens iter.

Auienus. Inſerit interius terrarum redditus æſtus,
Pectora cum curuo purgat Gallinula roſtro.

Agmine

πολλάκι λιμναῖαι ἢ εἰνάλιαι ὄρνιθες
ἄπληστον κλύζονται ἐνιέμεναι ὑδάτεσσιν,
ἢ λίμνην πέρι δηθὰ χελιδόνες ἀΐσσονται
γαστέρι τύπτουσαι αὔτως εἰλυμένον ὕδωρ,
ἢ μᾶλλον δειλαὶ γενεαὶ, ὕδροισιν ὄνειαρ,
αὐτόθεν ἐξ ὕδατος πατέρες βοόωσι γυρίνων.
ἢ τρύζει ὀρθρινὸν ἐρημαίη ὀλολυγὼν,

ἤπου καὶ λακέρυζα παρ' ἠιόνι προὐχούσῃ
χείματος ἐρχομένου χέρσῳ ὑπέκυψε κορώνη,
ἤπου καὶ ποταμοῖο ἐβάψατο μέχρι παρ' ἄκρους
ὤμους ἐκ κεφαλῆς, ἢ καὶ μάλα πᾶσα κολυμβᾷ,
ἢ πολλὴ στρέφεται παρ' ὕδωρ παχέα κρώζουσα.
καὶ βόες ἤδη τοι πάρος ὕδατος ἐνδίοιο
οὐρανὸν εἰσανιδόντες, ἀπ' αἰθέρος ὠσφρήσαντο.
καὶ κοίλης μύρμηκες ὀχῆς ἐξ ὤεα πάντα
θᾶσσον ἀνηνέγκαντο. καὶ ἀθρόοι ὤφθεν ἴουλοι
τείχη ἀνέρποντες, καὶ πλαζόμενοι σκώληκες
κεῖνοι, τοὺς καλέουσι μελαίνουσι ἔντερα γαίης·
καὶ τιτθαὶ ὄρνιθες, ταὶ ἀλέκτορος ἐξεγένοντο,
εὖ ἐφθειρίσαντο, καὶ ἔκρωξαν μάλα φωνῇ.
οἷόν τε σταλάον ψοφέει ὕδατι ὕδωρ.
δή ποτε καὶ γενεαὶ κοράκων, καὶ φῦλα κολοιῶν,
ὕδατος ἐρχομένοιο Διὸς πάρα σῆμ' ἐγένοντο,
φαινόμενοι ἀγεληδὰ, καὶ ἰρήκεσσιν ὁμοῖον

φθεγξάμενοι. καί που κόρακες δίους σταλαγμοὺς
φωνῇ ἐμιμήσαντο σὺν ὕδατος ἐρχομένοιο.
ἤ ποτε καὶ κρώξαντε βαρείῃ δισσάκι φωνῇ
μακρὸν ἐπιῤῥοιζεῦσι τιναξάμενοι πτερὰ πυκνά.
καὶ νῆσσαι οἰκουροὶ, ὑπωρόφιοί τε κολοιοὶ,
ἐρχόμενοι ἐπὶ γεῖσα, τινάσσονται πτερύγεσσιν.
ἢ ἐπὶ κῦμα διώκει ἐρωδιὸς ὀξὺ λεληκώς.
τῷ τοι μηδὲν ἀπόβλητον πεφυλαγμένῳ ὕδωρ
γινέσθω. μηδ' εἴ κεν ἐπὶ πλέον ἠὲ πάροιθεν
δάκνωσι μυῖαι, καὶ ἐφ' αἵματος ἱμείρονται.
ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μύξαν
νύκτα κατὰ σκοτίην. μηδ' ἢν ὑπὸ χείματος ὥρῃ
λύχνων ἄλλοτε μέν τε φάος κατὰ κόσμον ὀρώρει.
ἄλλοτε δ' ἀίσσωσιν ἄπο φλόγες, ἠύτε κοῦφαι
πομπόλυγες. μηδ' εἴ κεν ἐπ' αὐτόφι μαρμαίρωσιν
ἀκτῖνες. μηδ' ἢν θέρεος μέγα πεπταμένοιο
νησσαῖοι ὄρνιθες ἐπασσύτεροι φορέονται.
μηδὲ σύγ' ἢ χύτρης ἠὲ τρίποδος πυριβήτεω,
σπινθῆρες ὅτ' ἔωσι περὶ πλέονες, λελαθέσθαι.
μηδὲ κατὰ σποδιὴν ὁπότ' ἄνθρακος αἰθομένοιο
λάμπητε περὶ σήματ' ἐοικότα κεγχρείοισιν.
ἀλλ' ἐπὶ καὶ τὰ δόκευε περισκοπέων ὑετοῖο.
εἰ γε μὲν ἠερόεσσα πάρεξ ὄρεος μεγάλοιο
πυθμένα τείνεται νεφέλη, ἄκραι δὲ κολῶναι
φαίνονται καθαραί, μάλα κεν τόθ' ὑπεύδιος εἴης.
εὔδιος κ' εἴης, καὶ ὅτε πλατέος περὶ πόντου

φαίνηται

Agmine cum denſo circunuolitare uidetur
Graculus, & tenui cum ſtridunt gutture Corui,
Cum procera ſalum repetit languore frequenti
Ardea.

cum paruæ deſigunt ſpicula Muſcæ,
Et ſi nocturnis ardentibus undiq; teſtis
Concreſcunt fungi, ſi flammis emicet ignis
Effluus, aut lucis ſubſtantia langueat ultro.
Conuenit inſtantes prænoſcere protinus imbres.

Nec nocturna quidem carpentes denſa puellæ
Neſciuere hyemem, teſta cum ardente uiderent
Scintillare oleum, & putres concreſcere fungos. Virg.

Si nimium ad montem nebularum craſſus amictus
Tendatur, ſummo nudentur uertice ſaxa.
Et cum pontus item freta per diſtenta quieſcit

Auienus.

Nubila ſi longo ſe procumbentia tractu
Diffundunt cœlo, & Thetidi terriſq; ſupinis
Pax aderit, nuſquam mundo ruet effluus imber.
Sed cum tranquillo tenduntur craſſa ſerena,
Sub Ioue uenturæ prænoſcere ſigna procellæ
Conuenit, & cum perfurit aëris horror
Inſpice quàm referant terris pelagóq; quietem.
Inter prima tamen paruum præſepe notatur,
Arduus excelſo quod Cancer cardine uoluit,
Cum minus & primo purgatur flammine uenti
Tempore.

Virgil. Nec quicquam ſeros exercet Noctua cantus.

Auienus. Tum ueſpertinum Cornix longæua reſultat,
Virgil. Tum liquidas Corui preſſo ter gutture uoces,
Aut quater ingeminant, & ſæpe cubilibus altis,
Neſcio qua præter ſolitum dulcedine læti
Inter ſe folijs ſtrepitant. iuuat imbribus actis
Progeniem paruam, dulceſq; reuiſere nidos.

tunc pennis corpora plaudunt,
Auienus. Tunc & Strimonias circunuolitare repente
Suſpicies, & per aperta ubi mitior annus
Sponte procelloſum diſiecerit aëra cœli.

tum

φαίνηται χθαμαλὴ νεφέλη, μὴ δ' ὑψόθι κύρῃ,
ἀλλ' αὐτῷ πλαταμῶνι παραθλίβηται ὁμοίη.

σκέπτεο δ' εὔδιος μὲν ἐὼν ἐπὶ χείματι μᾶλλον,
εἰς δὲ γαλήναίην χειμωνόθεν. εὖ δὲ μάλα χρὴ

εἰς φάτνην ὁράαν, τὴν καρκίνος ἀμφιελίσσει,
πρῶτα καθαιρομένην πάσης ὑπένερθεν ὁμίχλης.
κείνη γὰρ φθίνοντι καθαίρεται ἐν χειμῶνι.

καὶ φλόγες ἡσύχιαι λύχνων, καὶ νυκτερίη γλαῦξ
ἥσυχον ἀείδουσα, μαραινομένου χειμῶνος
γινέσθω τοι σῆμα. καὶ ἥσυχα ποικίλλουσα
ὥρῃ ἑσπερίῃ κρώζῃ πολύφωνος κορώνη.
καὶ κόρακες μοῦνοι μὲν ἐρημαῖοι βοόωντες
δισσάκις. αὐτὰρ ἔπειτα μετὰ θρόα κεκλήγοντες,
πλειότεροι δ' ἀγεληδὸν ἐπὴν κοίτοιο μέδωνται
φωνῆς ἔμπλειοι. χαίρειν καί τις οἴσσοιτο,
οἷα τὰ μὲν βοόωσι λιγαινομένοισιν ὁμοῖα.
πολλὰ δὲ δενδρείοιο περὶ φλόον, ἄλλοτ' ἐπ' αὐτὸν
ἧχί τε κείουσιν, καὶ ὑπότροποι ἀπτερύονται.
καὶ δ' ἄν που γέρανοι μαλακῆς προπάροιθε γαλήνης,
ἀσφαλέως τανύσαιεν ἕνα δρόμον ἤλιθα πᾶσαι,
οὐδὲ παλιρρόθιοί κεν ὑπεύδιοι φορέοιντο.
ἦμος δ' ἀστερόθεν καθαρὸν φάος ἀμβλύνηται,

οὐδὲ

οὐδὲ πόθεν νεφέλαι πεπιεσμέναι αὐλιόωσιν,
οὐδέποθεν ζόφος ἄλλος ὑποτρέχει, οὐδὲ σελήνη.
ἀλλὰ τάγ' ἐξαπίνης αὔτως ἀμενηνὰ φέρονται,
μηκέτι τοι τόδε σῆμα γαληναίης ἐπικείσθω,
ἀλλ' ἔτι χεῖμα δόκευε. καὶ ὁππότε ταὶ μὲν ἔωσιν
αὐτῇ ἐν κόρσῃ νεφέλαι, ταὶ δ' ἄλλαι ἐπ' αὐταῖς,
ταὶ μὲν ἀμειβόμεναι, ταὶ δ' ἐξόπιθεν φορέονται.
καὶ χῆνες κλαγγηδὸν ἐπειγόμεναι βρομοῖο.
χειμῶνος μέγα σῆμα καὶ ἐννεάγηρα κορώνη
νύκτερον ἀείδουσα, καὶ ὀψὲ βοῶνται κολοιοί,
καὶ σπίνος ἠῶ σπίζων, καὶ ὄρνεα πάντα
ἐκ πελάγους φεύγοντα, καὶ ὀρχίλος, ἢ καὶ ἐριθεὺς
δύνων εἰς κοίλας ὀχεάς, καὶ φῦλα κολοιῶν

ἐκ νομοῦ ἐρχόμενα τραφεροῦ ἐπὶ ὄψιον αὖλιν.
οὐδ' ἂν ἐπὶ ξουθαὶ μεγάλου χειμῶνος ἰόντος
πρόσσω ποιήσαντο νομὸν κηροῖο μέλισσαι,
ἀλλ' αὐτοῦ μέλιτός τε καὶ ἔργον εἱλίσσονται.
οὐδ' ὑψοῦ γεράνων μακραὶ στίχες αὐτὰ κέλευθα
τείνονται, στροφάδες δὲ παλιμπετὲς ἀπονέονται.

μηδ' ὅτε νηνεμίῃ ἐν ἀράχνια λεπτὰ φέρηται,
καὶ φλόγες αἰθύσσωσι μαραινομένοιο λύχνοιο.
ἢ πῦρ αὔηται σποδιῇ, καὶ ὑπεύδια λύχνα
πιστεύειν χειμῶνι. τί τοι λέγω ὅσσα πέλονται
σήματ' ἐπ' ἀνθρώπους, δὴ γὰρ καὶ ἀεικεῖ τέφρῃ

tum ſtellis acies obtuſa uidetur. Verg.
Nubila nec craſſos circunduxere meatus Auienus.
Vt iubar occulerent, flagrantibus obuia flammis,
Nec caligo inhibet rutilantis lampados ignis,
Orbe nec expleto ſacra ſidera luna recondit.
Sed iam ſponte ſua ſtellarum lumina marcent,
Conuenit hybernæ prænoſcere dura procellæ
Nubila.
Gramina ſi carpit ſemeſa petatius Anſer,
Si nocturna tibi Cornix canit, Heſperus æthra
Cum redit innumero ſi cantu Graculus inſtat,
Si matutino Fringuilla reſultat ab ore,
Si fugiunt uolucres raptim freta turbida Nerei,
Orchilos infeſtus ſi floricomis hymenæis
Ima petit terræ, ſi deniq; paruus Eritheus,
& è paſtu deſcendens agmine magnô, Verg.
Coruorum increpuit denſis exercitus alis.
Cecropias ſi paſtus Apïs uicinus ab ipſa Auienus.
Caſtra inhibet, florumq́; ſimul libamina mœſtæ
Proxima decerpunt. ſi Threiciæ per aperta
Sponte Grues trepidant, nec ſeſe audacius æthræ
Comittunt,
ſi ſoluit Aranea caſſes.
Tenuia ſi toto uehit Auſter licia cœlo,
Mox tempeſtates & nubila tetra cientur.

Quid maiora canam Cinis? Cinis ipſe repente

Cum

*Cum coit, albenti nix terras uestit amictu,*
*Nix operit terras, rutilis ubi lumina prunis*
*Summa rubent, errantq́; breui caligine crassa*
*Interius nebulæ, & densa iam fomes in igni*
*Marcescit, penitus pluuios mox arguet austros:*

*Induit immodicis cum semet floribus Ilex*
*Et cum flore nouo, cum brachia glande grauantur*
*Vuentis cœli sibi nutrimenta latenter*
*Sponte operata docet.*
Cice. *Iam uero semper uiridis semperq́; grauata*
*Lentiscus, triplici solita grandescere fœtu*
*Ter fruges fundens, tria tempora monstrat arandi.*

Auienus. *Ter prorumpentis Scyllæ teres erigitur flos,*
*Sulcandiq́; solum ter monstrat tempus adesse,*

αὐτοῦ πηγνυμένη νιφετοῦ περιτεκμήραιο,
καὶ λύχνῳ χιόνος, κέγχροις ὅτ' ἐοικότα πάντῃ
κύκλῳ σήματ' ἔχει πυριλαμπέος ἐγγύθι μύξα,
ἄνθρακι δὲ ζώοντι, χαλάζης ὁππότε λαμπρὸς
αὐτὸς ἐείδηται, μέσσῳ δ' οἱ ἠΰτε λεπτὴ
φαίνηται νεφέλη, πυρὸς ἔνδοθεν αἰθομένοιο.
πρῖνοι δ' οὐ καρποῖο καταχθέες, οὐδὲ μέλαιναι
σχῖνοι, ἀπείρητοι. πάντῃ δέ τε πολλὸς ἀλωεὺς
αἰεὶ παπταίνει μή οἱ θέρος ἐκ χερὸς ἔρρῃ.
πρῖνοι μὲν θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι,
χειμῶνος καὶ λέγοιεν ἐπὶ πλέον ἰσχύοντος.
μὴ δ' ἄδην ἔκπαγλα περιβρίθοιεν ἁπάντῃ.
τηλοτέρω δ' αὐχμοῖο συνάσταχύοιεν ἄρουραι.
τριπλόα δὲ σχῖνος κυέει. τρισσαὶ δέ γε αὖξαι
γίνονται καρποῖο. φέρει δέ τε σήμαθ' ἑκάστῃ
ἑξείης ἀρότῳ. καὶ γάρ τ' ἀροτήσιον ὥρην
τριπλόα μείρονται, μέσσην, καὶ ἐπ' ἀμφότερ' ἄκρας.
πρῶτος μὲν πρώτην ἄροσιν, μέσσος δέ τε μέσσην
καρπὸς ἀπαγγέλλει, πυμάτην γε μὲν ἔσχατος ἄλλων.
ὅντινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἄρηται,
κείνῳ γ' ἐξ ἄλλων ἄροσις πολυλήϊος εἴη,
τῷ δέ γ' ἀφαυροτάτῳ ὀλίγη, μέσσῳ δέ τε μέσση.
οὕτως δ' ἀνθέρικος τριχθὰ σκύλλες ὑπεραρθῆ,
σήματ' ἐπιφράζεσθαι ὁμοίϊον ἀμήτοιο.
ὅσσα δ' ἐπὶ σχίνου ἀροτὴρ ἐπιφράσσατο καρπῷ,
τόσσα καὶ ἐν σκύλλης τεκμαίρεται ἄνθεϊ λευκῷ.

αὐτὰρ ὅτε σφῆκες μετοπωρινὸν ἤλιθα πολλοὶ
πάντῃ βεβρίθωσι καὶ ἑσπερίων προπάροιθεν
πληϊάδων, εἴποι τις ἐπερχόμενον χειμῶνα,
οἷος ἐπὶ σφήκεσσιν ἑλίσσεται αὐτίκα δῖνος.
θήλειαι δὲ σύες, θήλεια δὲ μῆλα. καὶ αἶγες
ὁππότ' ἀναστρωφῶσιν ὀχῆς, τάδε γ' ἄρρενα πάντα
δεξάμεναι πάλιν αὖτις ἀναβλήδην ὀχέωνται,
αὐτῷ κε σφήκεσσι μέγαν χειμῶνα λέγοιεν.
ὀψὲ δὲ μισγομένων αἰγῶν μήλων τε συῶν τε,
χαίρει ἄνολβος ἀνὴρ, ὅ οἱ οὐ μάλα θαλπιόωντι
εὔδιον φαίνουσι βεβαιόμεναι ἐνιαυτόν.
χαίρει καὶ γεράνων ἀγέλαις ὡραῖος ἀροτρεὺς
ὥριον ἐρχομέναις. ὁ δ' ἀώριος αὐτίκα μᾶλλον.
αὔτως γὰρ χειμῶνες ἐπέρχονται γεράνοισι,
πρώϊα μὲν μᾶλλον καὶ ὁμιλαδὸν ἐρχομένῃσι,
πρώϊον, αὐτὰρ ὅτ' ὀψὲ καὶ οὐκ ἀγεληδὰ φανεῖσαι
πλειότερον φορέονται ἐπὶ χρόνον, οὐδ' ἅμα πολλαί,
ἀμβολίῃ χειμῶνος ὀφέλλεται ὕστερα ἔργα.
εἰ δὲ βόες καὶ μῆλα μετὰ βρίθουσαν ὀπώρην
γαῖαν ὀρύσσωσι, κεφαλὰς δ' ἀνέμοιο βορῆος
αὐτία τείνωσιν, μάλα κεν τότε χείμερον αὐταὶ
πληϊάδες χειμῶνα κατερχόμεναι φορέοιεν.
μὴ δὲ λίην ὀρύχοιεν, ἐπεὶ μέγας οὐ κατὰ κόσμον
γίνεται, οὔτε φυτοῖς χειμὼν φίλος, οὔτ' ἀρότοισιν.

Sic & Crabronum rauca agmina si uolitare
Fine sub Autumni conspexeris æthere longo,
Iam uespertinos primos cum commouet ortus
Vergilias, pelago dices instare procellas:
Siq; Sues lentæ, si lanæ sedula Nutrix,
Si Capra dumosis errans in saltibus ultro
In Venerem pergat,
Et tempestates & nubila protinus atra
Adfore præcipites.

quin & gaudebit Arator,
Quiq; solum iusti uersabit mensibus anni,
Plebe Gruum prima: gaudebit tardus Arator
Agmine pigrarum, si quadam lege Deorum

His comes est imber: si denique terram
Lanigeræ fodiant, caput aut tendatur in Arcton,
Cum madidus per marmora turbida condit
Pleiadas occasus, cùm brumæ in frigora cedit
Frugifer Autumnus, ruet æthra concitus imber.
At si perruptis terrarum dorsa lacunis
Infodiant pecudes:
Suspecti tibi sint imbres. nanq; urget ab alto
Arboribusq; satisq; Notus pecoriq; sinister. Vergil.

Auien. Nix herbas lædet teneras, nix uret aristas.

At ſi contigerit plures ardere cometas,
Inualidas ſegetes torrebit ſiccior aër.

Contemplator item ſi longo plurima ponto
Agmina feſtinant uolucrum, ſolidamq; frequentes
Succedunt terram: ſterilis deſæuiet æſtus,
At ſitient agri.
Sed ſi * producant agmina ab undis,
Nec trepido paßim uerſent conuexa uolatu,
Lætitia eſt duris paſtoribus, adfore parcos
Præſumunt imbres. Sic in contraria ſemper
Vota homines agimur, noſtriq; cupidine fructus
Poſcimus alterius diſpendia. denique & ipſa
Solers natura, & rerum genitabilis ordo,
Certa ſuis ſtudijs affixit ſigna futuri.
Nanque & ouis cupido ſi gramina tondeat ore,
Inſaturata cibi decerpens latius agros,
Paſtor indicium pluuialis frigoris edet.
Et ſi perſultans Aries laſciuius herbas
Appetit, aut ſeſe ſuſtollant ſaltibus Hœdi,
Vel ſi iuge gregi cupiant hærere, nec uſquam
Matribus abſcedant, & ſi ſine fine modoq;
Pabula delibent, cùm tutas ueſpera dire

Com/

ἀλλὰ χιὼν εἴη πολλὴ μεγάλαις ἐπ' ἀρούραις,
μήπω κεκριμένη, μὴ δὲ βλωθρῆ ἐπὶ ποίη,
ὄφρα τις εὐέτιϊ χαίρῃ ποτιδέγμενος ἀνήρ,
μὴ δ' εἶεν καθ' ὕπερθεν ἐοικότες ἀστέρες αἰεί.
μήθ' εἷς, μήτε δύω, μηδὲ πλέονες κομόωντες.
πολλοὶ γὰρ κομόωσιν ἐπ' αὐχμηρῷ ἐνιαυτῷ.
οὐδὲ μὲν ὀρνίθων ἀγέλαις ἠπειρόθεν ἀνὴρ
ἐκ νήσων, ὅτε πολλαὶ ἐπιπλήσσωσιν ἀρούραις
ἐρχομένου θέρεος χαίρει, περιδείδιε δ' αἰνῶς
ἀμήτῳ, μή οἱ κενεὸς καὶ ἀχυρμιὸς ἔλθῃ
αὐχμῷ ἀνιηθείς. χαίρει δέ που αἰπόλος ἀνὴρ
αὐταῖς ὀρνίθεσιν, ἐπὴν κατὰ μέτρον ἴωσιν,
ἐλπόμενος μετέπειτα πολυγλάγεος ἐνιαυτοῦ.
οὕτω γὰρ μογεροὶ καὶ ἀλήμονες ἄλλοθεν ἄλλοι
ζώομεν ἄνθρωποι. τὰ δὲ πὰρ ποσὶ πάντες ἕτοιμοι
σήματ' ἐπιγνῶναι, καὶ ἐς αὐτίκα ποιήσασθαι.

ἀρνάσι μὲν χειμῶνας ἐτεκμήραντο νομῆες,
ἐς νομὸν ὁππότε μᾶλλον ἐπειγόμενοι τροχόωσιν.

ἄλλοι δ' ἐξ ἀγέλης κριοί, ἄλλοι δὲ καὶ ἀμνοὶ
εἰνόδιοι παίζωσιν ἐρειδόμενοι κεράεσσιν.
ἢ ὁπότ' ἄλλοθεν ἄλλοι ἀναπλήσσωσι πόδεσσι,
τέτρασιν οἱ κοῦφοι, κεραοί γε μὲν ἀμφοτέροισιν.

ἢ καὶ ὅτ᾽ ἐξ ἀγέλης ἀεκούσια κινήσωσι
δείελον εἰσελάοντες ὁμῶς, τὰ δὲ πάντῃ ποίης
δάκνωσιν πυκινῇσι κελευόμενα λιθάκεσσιν.
ἐκ δὲ βοῶν ἐπύθοντ᾽ ἀρόται καὶ βουκόλοι ἄνδρες
κινυμένου χειμῶνος. ἐπεὶ βόες ὁππότε χηλὰς
γλώσσῃ ὑπωμαίοιο ποδὸς περιλιχμήσωνται,
ἢ κοίτῳ πλευρὰς ἐπὶ δεξιτερὰς τανύσωνται,
ἀμβολίην ἀρότοιο γέρων ἐπιέλπετ᾽ ἀροτρεύς.
ἠδ᾽ ὅτε μυκηθμοῖο περίπλειοι ἀγέρωνται,
ἐρχόμεναι σταθμόνδε βόες βουλύσιον ὥρην,
σκυθραὶ, λειμῶνος πόριες καὶ βουβοσίοιο,
αὐτίκα τεκμαίρονται ἀχείμεροι ἐμπλήσεσθαι.
οὐδ᾽ αἶγες πρίνοιο περισπεύδουσαι ἀκάνθαις,
εὔδιοι, οὐδὲ σύες φορυτῷ ἐπιμαργαίνουσαι.

καὶ λύκος, ὁππότε μακρὰ μονόλυκος ὠρύηται,
ἢ ὅτ᾽ ἀροτρήων ὀλίγον πεφυλαγμένος ἀνδρῶν
ἔργα κατέρχηται, σκέπαος χατέοντι ἐοικὼς
ἐγγύθεν ἀνθρώπων, ἵνα οἱ λέχος αὐτόθεν εἴη,
τρὶς περιτελλομένης ἠοῦς χειμῶνα δοκεύειν.
οὕτω καὶ προτέροις ἐπὶ σήμασι τεκμήραιο
ἐσσομένων ἀνέμων, ἢ χείματος, ἢ ὑετοῖο,
αὐτὴν, ἠὲ μετ᾽ αὐτὴν, ἢ τριτάτην ἔτ᾽ ἐς ἠῶ.

ἀλλὰ

Compellat caulas, monstrabunt adfore nimbos.

Bubus arator item trahit atro signa procellæ,
Lambere si lingua prima hos uestigia fortè
Viderit, aut dextrum prosternere corpus in armum:

Vel si prolixis auras mugitibus implent,
Pascua linquentes uix uespere.

dat Capra moti
Rursum signa poli, cum spinis ilicis atræ
Multa inhiat. docet hæc eadem Sus horrida, cœno
Gurgitis illuuie si sæpius inuoluatur.

Martius ipse Lupus uillarum proxima oberrans,
Assectansq; locos hominum, lectumq; laremq;
Sponte petens, crasso consurgere nubila cœlo
Præmonet.

Id parui cum stridunt denique Mures,
Cum gestire solo, cùm ludere forte uidentur,
Portendunt: tibi met Canis in præsentia ultro
Tellurem fodiens. tamen hæc tamen omnia rerum
Adfore, uel primo nimbis mox Sole docebunt:
Vel cum curriculis lux ibi cœpta secundis,
Tertius aut uerso cum uenerit ortus olympo.

Non spernenda tibi sint ulla. sed memor uni
Adde aliud semper: si tertia denique signa
Proueniant, firmo uenturum pectore fare,
Et transactorum solers componere mensum
Signa laborabis. si sic fluxere reperta,
Nequaquam trepidare pudor persuadeat ullos
Astrorum lapsus, astrorum protinus ortus.
Discute, si casus similis & stella per æthram
Prodidit exacti iam summa crepuscula mensis,
Et surgentis item primordia conscius artis
Fare sacræ mensum confinia summa duorum.
Cæca latent lucis hæc semper semet in octo
Inscia lunaris tendunt facis. Ipse fideli
Perquires studio, & si quid tibi forte repertum
Pluribus indicijs, solers fulcire memento.

FINIS.

ἀλλὰ γὰρ οὐδὲ μύες τετριγότες, εἴποτε μᾶλλον
εὔδιοι σκιρτῆσαν, ἐοικότες ὀρχηθμοῖσιν,
ἄσκεπτοι ἐγένοντο παλαιοτέροις ἀνθρώποις.
οὐδὲ κύνες. καὶ γάρ τε κύων ὠρύξατο ποσσὶν
ἀμφοτέροις χειμῶνος ἐπερχομένοιο δοκεύων.
καὶ μὴν ἐξ ὕδατος ὁ καρκίνος ᾤχετο χέρσῳ
χειμῶνος μέλλοντος ἐπαΐσσεσθαι ὁδοῖο.
καὶ μύες ἡμερίοις ποσσὶ στιβάδα στρωφῶντες
κοίτης ἱμείρονται, ὅτ' ὄμβρου σήματα φαίνοι
κἀκεῖνοι χειμῶνα μύες τότε μαντεύονται.
τῶν μηδὲν κατόκνει. καλὸν δ' ἐπὶ σήματι σῆμα
σκέπτεσθαι. μᾶλλον δὲ δυοῖν εἰς ταὐτὸν ἰόντοιν
ἐλπωρὴ τελέθοι. τριτάτῳ δέ κε θαρσήσειας.
αἰεὶ δ' ἂν παριόντος ἀριθμοίης ἐνιαυτοῦ
σήματα, συμβάλλων εἴπου καὶ ἐπ' ἀστέρι τοίη
ἠὼς ἀντέλλοντι κατέρχεται ἢ κατιόντι
ὁπποῖον ὁ σῆμα λέγοι. μάλα δ' ἄρκιον εἴη
φράζεσθαι φθίνοντος, ἐπισταμένοιό τε μηνὸς
τετράδας ἀμφοτέρας. αἱ γάρ τ' ἄμυδις συνιόντων
μηνῶν πείρατ' ἔχουσιν, ὅτε σφαλερώτατος αἰθὴρ
ὀκτὼ νυξὶ πέλει χήτει χαροποῖο σελήνης.
τῶν ἄμυδις πάντων ἐσκεμμένος εἰς ἐνιαυτὸν,
οὐδέ ποτε σχεδίως κεν ἐπ' αἰθέρι τεκμήραιο.

τέλος.